§ 72. *Διόρθωσις τοῦ ἑλληνικοῦ κειμένου τῆς ἁγίας Γραφῆς.*

Τὸ ἐπισημότατον τῶν πονημάτων τοῦ ἁγίου Λουκιανοῦ ἦν ἡ διόρθωσις τοῦ ἑλληνικοῦ κειμένου τῶν ἱερῶν Γραφῶν.

Ὁ μακάριος Ἱερώνυμος γράφει « ὁ Λουκιανός, ἀνὴρ περιφανέστατος, πρεσβύτερος τῆς ἐν Ἀντιοχείᾳ Ἐκκλησίας . . . τοσοῦτον ἐπόνησεν ἐν τῇ τῶν Γραφῶν σπουδῇ, ὥστε μέχρι τοῦ δεῦρο ἀντίγραφά τινα τῶν Γραφῶν καλοῦνται Λουκιάνεια»(1).

Ὁ αὐτὸς λόγος, ὑφ' οὗ παρορμηθεὶς ὁ ἅγιος Πάμφιλος, ἐπεθεώρησεν ἐν Παλαιστίνῃ τὸ ἑλληνικὸν κείμενον τῆς Παλαιᾶς Διαθήκης, παρώρμησε καὶ τὸν ἅγιον Λουκιανόν, διαβιώσαντα ἐν Συρίᾳ καὶ μικρᾷ Ἀσίᾳ, ἐπιθεωρῆσαι τὸ κείμενον τῆς ἁγίας Γραφῆς—τῆς τε Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης. Ὁ ἅγιος Λουκιανὸς εἶδεν ἐν τῷ ἱερῷ κειμένῳ, ὡς γράφουσιν ὁ Σουΐδας καὶ ὁ Μεταφραστής, σφάλματα εἰσρυέντα οὐ μόνον ὑπὸ τοῦ χρόνου, ἀλλὰ καὶ ὑπὸ κακοδόξων ἀνθρώπων, καὶ τούτου ἕνεκα ἔγνω ποιήσασθαι χρῆσιν τῶν πόνων καὶ γνώσεων αὐτοῦ, ὅπως μεταδῷ τῇ Ἐκκλησίᾳ ἀκριβέστατον κείμενον. Πρὸ παντὸς δὲ ἄλλου ἔστρεψε τὴν προσοχὴν αὐτοῦ εἰς τὸ ἑβραϊκὸν πρωτότυπον, ἐφ' ᾧ πρότερον ἐξέμαθε τὴν ἑβραϊκὴν γλῶσσαν. Γινώσκων δὲ τὴν συριακὴν γλῶσσαν ἐκ τοῦ τόπου τῆς γεννήσεως αὐτοῦ, μεγάλην ἔχουσαν ὁμοιότητα τῇ ἑβραϊκῇ, κατενόει ἀναμφιβόλως τὸ κείμενον τῆς Παλαιᾶς Διαθήκης. Ἐκτὸς δὲ τούτου εἶχεν ὑπ' ὄψιν καὶ μεταφράσεις (2). Ὁ συγγραφεὺς τῆς ἑλληνι-

(1) De vir. illustr. c. 77.

(2) Σουΐδας λ. *Λουκιανός*. « Οὗτος τὰς ἱερὰς βίβλους θεασάμενος πολὺ τὸ νόθον εἰςδεξαμένας, τοῦ τε χρόνου λυμηναμένου πολλὰ τῶν ἐν αὐταῖς, καὶ τῆς συνεχοῦς ἀφ' ἑτέρου εἰς ἕτερα μεταθέσεως, καὶ μέντοι καί τινων ἀνθρώπων πονηροτάτων, οἳ τοῦ ἑλληνισμοῦ προειστήκεσαν, παρατρέψαι τὸν ἐν αὐταῖς θελησάντων νοῦν, καὶ πολὺ τὸ κίβδηλον εὐσκευασαμένων, αὐτὸς ἁπάσας ἀναλαβών, ἐκ τῆς ἑβραΐδος ἐπανεσώσατο γλώττης, ἣν καὶ αὐτὴν ἐς τὰ μάλιστα ἦν ἠκριβωκώς, πόνον τῇ ἐπανορθώσει πλεῖστον εἰσενηνεγκάμενος » [Τὸ χωρίον τοῦτο ἀναφέρων ὁ πολὺς Οἰκονόμος, ὀρθότατα λέγει τάδε :) Λαμπρὸς ὁ ἔπαινος, καὶ προσήκων, ἀλλ' ὅτι ἔχει καί τινας ὑπερβολάς, πᾶς τις ἐννοεῖ, τοῦτο μόνον ἐνθυμηθείς· ὅτι, καθὼς ἦσαν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἀκριβέστερα τῶν ἀντιγράφων ἐπ' Ὠριγένους (50

κῆς 'Ανθολογίας λέγει, ὅτι ὁ ἅγιος Λουκιανὸς κατέλιπε τῇ Νικομηδέων 'Εκκλησίᾳ βιβλίον γεγραμμένον σελίσι τρισσαῖς (εἰς τρεῖς δηλονότι στήλας διῃρημένης τῆς σελίδος), περιέχον ἅπασαν τὴν Παλαιάν τε καὶ Καινὴν Διαθήκην(1). Ἡ εἴδησις αὕτη ἐστὶ πιθανωτάτη, καὶ ῥᾳδίως δύναταί τις εἰκάσαι τί κατεχώρησεν ὁ ἅγιος Λουκιανὸς ἐν ταῖς τρισσαῖς σελίσι. Δι' αὐτὸ δὲ τοῦτο, ὅτι ὁ ἅγιος Λουκιανὸς ἐγεννήθη ἐν Συρίᾳ, δυνάμεθα ὑποθεῖναι, ὅτι οὐ παρεώρα τὴν ἀρχαίαν συριακὴν μετάφρασιν τὴν Πεσχίταν, ἡ δὲ μετὰ προσοχῆς ἐπιθεώρησις τῶν χειρογράφων τῆς Καινῆς Διαθήκης ἄγει εἰς τοῦτο, ὅτι ὁ ἅγιος Λουκιανὸς εἶχεν ὄντως ὑπ' ὄψιν τὴν Πεσχίταν, διότι αἱ διαφοραὶ ταύτης τῆς μεταφράσεως ἐπαναλαμβάνονται καὶ ἐν ἐκείνοις τοῖς χειρογράφοις, ἅτινα διετήρησαν ἐν ἑαυτοῖς ἴχνη τοῦ Λουκιανείου πονήματος (2). Τοιούτῳ τρόπῳ ἐν ταῖς τρισὶ σελίσιν αὐτοῦ ὁ

περίπου ἔτεσι πρὸ τοῦ Λουκιανοῦ), οὕτως ἦσαν τοιαῦτα καὶ ἐν Ἀντιοχείᾳ· ἢ μήπως νενοθευμένοις ὑπὸ τῶν δυσσεβῶν ἀντιγράφοις ἐχρῆτο ἡ ἀποστολικὴ τῶν Ἀντιοχέων Ἐκκλησίᾳ; καὶ οὔτε ὁ ἕβδομος ἀπὸ τῶν Ἀποστόλων Θεόφιλος γενόμενος ἐπίσκοπος τῆς 'Αντιοχείας, οὔτε ἄλλος τις τῶν ἐφεξῆς ποιμένων, καὶ τῶν τὰ θεῖα σοφῶν, οὔτ' αὐτὸς Ὠριγένης ἐλθὼν εἰς Ἀντιόχειαν (ἐκκλης. ἱστορ. ς'. 24) συνεῖδον οὕτω ῥερᾳδιουργημένας τὰς ἐν τῇ Ἐκκλησίᾳ τηρουμένας θείας Γραφάς, ἕως ταύτας ἐξεκάθηρεν ὁ ἱερομάρτυς Λουκιανός; Καὶ τὸ «*ἐπανεσώσατο δὲ ταύτας ἐκ τῆς ἑβραΐδος γλώσσης*» παρίστησι τὴν ὑπὸ τοῦ Λουκιανοῦ διορθωθεῖσαν ἔκδοσιν τῶν Ο, ὡς μηδόλως διαφέρουσαν τοῦ τότε κατ' αὐτὸν ἑβραϊκοῦ, καὶ τῶν ἄλλων τῶν ἐκ τούτου ἰουδαϊκῶν ἑρμηνειῶν· καὶ παρεχάραττε λοιπὸν ὁ ἱερώτατος μάρτυς *ταῖς ὑπ' οὐρανὸν ἐκκλησίαις*, ὅπερ ἔφρισσε καὶ αὐτὸς ὁ συντάκτης τῶν Ἑξαπλῶν. Ἀλλ' ὅτι μὲν διώρθωσεν ὁ Λουκιανὸς πολλά τινα τῶν ἀντιγράφων τῆς Κοινῆς ἑρμηνείας τῶν Ο, τοῦτο βέβαιόν ἐστιν. Ἀλλ' ὡσαύτως ἐστὶ βέβαιον, καὶ ὅτι ἡ κατ' αὐτὸν ἔκδοσις οὐ διέφερεν ἐπισήμως τῶν ἄλλων τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένων ἱερῶν βίβλων. . . . » (Περὶ τῶν Ο, ἑρμην. βιβλ. Δ'. κεφ. ε'. σελ. 499—500). Σ. Μ.

(1) Ἴδ. Act. S. ad. 7. d. Januarii. Τὰ τετραπλᾶ τοῦ Ὠριγένους ἐπ' ἴσης καλοῦνται *τετρασέλιδον*. Montfaucon. p. 2.

(2) Τοῦτο κυρίως παρατηρεῖται ἐν τῇ Καινῇ Διαθήκῃ. Ὁ Hug ἀπέδειξεν, ὅτι ἡ λουκιάνειος κριτικὴ ἀναγινώσκεται πρὸς τοῖς ἄλλοις ἐν τοῖς χειρογρ. τῆς ἐν Μόσχᾳ συνοδ. βιβλιοθήκης.—Ἐν τῷ Εὐαγγελίῳ Ν. 5. 43.

ἅγιος Λουκιανὸς κατεχώρησε τὸ ἑβραϊκόν, τὸ συριακὸν καὶ τὸ ἑλληνικὸν κείμενον.

Τὸν χαρακτῆρα τῆς Λουκιανείου κριτικῆς δυνατὸν ἰδεῖν ἐν τοῖς λόγοις τοῦ μακαρίου Ἱερωνύμου: «διὰ βραχέων σημειώσω, ἵνα μάθητε, ὅτι ἄλλη ἐστὶν ἡ ἔκδοσις, ἣν ὁ Ὠριγένης καὶ Εὐσέβιος ὁ Καισαρείας καὶ πάντες οἱ ἕλληνες συγγραφεῖς καλοῦσι κ ο ι ν ὴ ν (communem atque vulgatam) [*], καὶ ἣν νῦν πολλοὶ καλοῦσι Λ ο υ κ ι α ν ί δ α· ἄλλη δὲ ἡ τῶν Ο, ἔκδοσις, ἡ ἐν τοῖς Ἑξαπλοῖς εὑρισκομένη» (¹). Κατὰ τοὺς λόγους τούτους τὸ κείμενον τοῦ ἁγίου Λουκιανοῦ ἦν τοσοῦτον ὅμοιον τῷ κειμένῳ, ὅπερ ἔτι ὁ Ὠριγένης ἐκάλει κ ο ι ν ό ν, ὥστε ἐπὶ τοῦ Ἱερωνύμου αἱ λέξεις: κείμενον κ ο ι ν ὸ ν καὶ κείμενον τοῦ Λ ο υ κ ι α ν ο ῦ ἦσαν λέξεις ταὐτοσήμαντοι· ἄλλως τὸ κείμενον τοῦ Λουκιανοῦ ἐκαλεῖτο κ ο ι ν ό ν, διότι ἐν αὐτῷ οὐχ ὑπῆρχον αἱ συμπληρώσεις αἱ ὑπὸ τοῦ Ὠριγένους εἰσαχθεῖσαι εἰς τὸ κείμενον αὐτοῦ ἐκ τῶν ἄλλων μεταφράσεων [α]. Οὕτω περιγράφε-

---

12. Ἐν τῷ Ἀποστόλῳ Ν. 333. 45. 4. 334. 364. 328. (κατὰ τὸν κατάλογον τοῦ Ματτέου). Παραδείγματα παρὰ τῷ αὐτῷ (Einleit. in die Schrift. d. N. Test. Stuttgard. 1826. s. 209—214) καὶ παρὰ τῷ Εἰχορνίῳ Einleit. in das N. T. 2. B. 5. 295—298.

[*] «Οὕτω, λέγει ὁ σοφώτατος Οἰκονόμος (ἔνθ. ἀνωτέρ. σελ. 869), καὶ ἡ κατ' Ἀριστοτέλην ἔκδοσις τοῦ Ὁμήρου (ἡ ἀπὸ τοῦ *Νάρθηκος*) ὠνομάζετο παρὰ τοῖς Ἕλλησι *κοινή*, ὡς συνηθεστέρα, πρὸς διάκρισιν ἄλλων ἐκδόσεων αὐτῆς (οἷον τῆς τοῦ Ἀριστοφάνους, τοῦ Ζηνοδότου κτλ. ἢ καὶ τῶν κατὰ τόπους, οἷον τῆς Μασσαλιωτικῆς, καὶ Ἀργολικῆς, καὶ Κρητικῆς καὶ Κυπρίας). Ὅθεν ὁ Εὐστάθιος (εἰς Ἰλιάδ. Ω, στίχ. 214.) « Αἱ κοιναί, ἤγουν αἱ πλείους ἐκδόσεις γράφουσιν οὕτω», κτλ. Σ. Μ.

(¹) Epist. 106 ad Sunniam et Fretelam.

[α] Ἡ *Κοινὴ* λεγομένη ἔκδοσις, λέγει ὁ ἀείμνηστος Οἰκονόμος (αὐτόθ. σελ. 868—9), αὐτή ἐστιν ἐκείνη ἡ μία καὶ μόνη τῶν Ο, μετάφρασις, ἣν ἀνέκαθεν ἡ Ἐκκλησία παρέλαβε, καὶ τηρεῖ, καὶ χρήσεται εἰς αἰῶνας ἔν τε ταῖς θείαις αὐτῆς ἁγιστείαις, καὶ ἐν πάσαις ταῖς ἰδίαις καὶ δημοσίαις τῶν Ὀρθοδόξων μελέταις καὶ συγγραφαῖς καὶ διδασκαλίαις. Καὶ μέχρι μὲν Ὠριγένους οὐδ' ὠνομάζετο ὅλως *Κοινή*, ἀλλ' ἁπλῶς ἡ *Γραφή*, καὶ ἡ *κατὰ τοὺς Ο Γραφή*, ἢ οἱ Ο. Οὕτως αὐτὸς Ὠριγένης ὠνόμασεν αὐτὴν πολλάκις· οἷον, « τὸ μὲν (ἀντίγραφον) ἦν κατὰ τοὺς Ο, τὸ δὲ ἕτερον κατὰ Θεοδοτίωνα» (ἐπιστ. πρὸς Ἀφρικ. καὶ ἀλλαχοῦ). Εἶπε δέ που *κοινὰ* καὶ τὰ ἀντίγραφα τῶν Ο, ὡς κοινῶς παρὰ τοῖς χριστιανοῖς ἀναγι-

ται ἡ Λουκιανὶς καὶ ἐν τῇ τοῦ Μεγάλου Ἀθανασίου Συνόψει, ἀλλὰ σαφέστερον : « ὁ Λουκιανὸς ταῖς προγεγραμμέναις ἐκδόσεσι (ταῖς ἑρμηνείαις τῶν Ο, καὶ τῶν περὶ τὸν Ἀκύλαν), καὶ τοῖς ἑβραϊκοῖς ἐντυχών, καὶ ἐποπτεύσας μετ' ἀκριβείας τὰ λείποντα, ἢ καὶ περιττὰ τῆς ἀληθείας ῥήματα, καὶ διορθωσάμενος ἐν τοῖς οἰκείοις τῶν Γραφῶν τόποις, ἐξέδοτο τοῖς χριστιανοῖς ἀδελφοῖς » (1). Εὐθύμιος ὁ Ζιγαβηνὸς γράφει : « Ὅς (Λουκιανός, ὁ μέγας ἀσκητὴς καὶ μάρτυς) ταῖς προρρηθείσαις ἐπιστήσας ἐκδόσεσι (ταῖς ἑρμηνείαις τοῦ Ἀκύλα καὶ τῶν λοιπῶν), καὶ τοῖς ἑβραϊκοῖς φιλοπονώτερον ἐντυχών, καὶ ἀκριβωσάμενος, ἔκδοσιν ἰδιόκληρον, καὶ μηδὲν ἐλλεῖπον, ἢ περιττὸν ἔχουσαν, χριστιανοῖς ἐποιήσατο — αὕτη συνᾴδει τῇ τῶν Ο, τὰ παρεφθαρμένα τῶν ἄλλων (ἑρμηνειῶν) ἀθετοῦσα» (2). Σύμφωνοι τούτῳ αἱ μαρτυρίαι τοῦ Σουίδα καὶ Νικήτου τοῦ Ἡρακλείας (3). Ἐξ ἁπασῶν τῶν μαρτυριῶν πρόδηλον, α'] ὅτι ὁ ἅγιος Λουκιανὸς μετὰ πολλῆς ἀκριβείας ἐπεξειργάσθη τὸ κείμενον τῶν Ο, β'] ὅτι τὰ σφάλματα τῶν ἀντιγραφέων, τὰς μεταβολὰς τῶν διαφόρων μεταφραστῶν, τὰς παρενθέσεις καὶ παραλείψεις, αἵτινες οὐχ ὑπῆρχον ἐν τῷ ἑβραϊκῷ κειμένῳ, τὰς εἰσαχθείσας οὐχ' ὑπ' αὐτῶν τῶν Ο ἀλλὰ ὑπὸ ξένης χειρός, ὁ ἅγιος Λουκιανὸς ἐξῄρει συνῳδὰ τῷ ἑβραϊκῷ κειμένῳ καὶ τῇ Συριακῇ μεταφράσει· ἀλλὰ γ'] διὰ τὴν ἔλλειψιν μαρτυριῶν ἀνεξήγητον μένει πόθεν ὁ ἅγιος Λουκια-

νωσκόμενα, πρὸς ἀντιδιαστολὴν τῶν ἑβραϊκῶν. «Κατὰ μὲν τὰ κοινὰ τῶν ἀντιγράφων οὕτω, κατὰ δὲ τὸ ἑβραϊκὸν» κτλ. (κατὰ Κέλσ. ε). Μετὰ δὲ τὴν ἔκδοσιν τῶν Ὠριγένους Ἑξαπλῶν ἡ κοινῶς καὶ συνήθως ἀναγινωσκομένη Γραφὴ τῶν Ο, προσέλαβε παρά τισι τῶν ἐφεξῆς σχολιαστῶν καὶ οἷον ἴδιον ἐπώνυμον τὸ τῆς *Κοινῆς* πρὸς διαστολὴν τῆς ἐν τοῖς Ἑξαπλοῖς τοῦ Ὠριγένους μετὰ τῶν κριτικῶν σημειώσεων ἐκδοθείσης ». Σ. Μ.

(1) Ἀθαν. Τ. 2. σελ. 103. [Ἐν τούτοις σημειωτέον, λέγει Οἰκονόμος ὁ πάνυ (αὐτόθ. σελ. 500), ὅτι ὁ ἱερὸς Ἀθανάσιος (εἴγε τοῦ Ἀθανασίου οἱ λόγοι, καὶ μή τινος νεωτέρου, ὡς φαίνεται πιθανὸν) καταχρηστικώτερον ἠρίθμησε καὶ ὠνόμασεν ἑβδόμην *ἑρμηνείαν* τὴν ὑπὸ τοῦ Λουκιανοῦ κριτικὴν ἔκδοσιν αὐτῆς τῆς ἑρμηνείας τῶν Ο, καὶ τοῦτο προῆλθε διὰ τὸ συνώνυμον τῆς ἐκδόσεως, ὡς καὶ Ὠριγένης πολλάκις *ἔκδοσιν* καλεῖ καὶ τὴν κυρίως ἑρμηνείαν, ἢ μετάφρασιν (οἷον τὴν τῶν Ο, καὶ τῶν λοιπῶν »). Σ. Μ.]

(2) Προοίμ. εἰς τοὺς ψαλμ.

(3) Ἴδ. σημ. 8.

νὸς συνεπλήρωσε τὸ κοινὸν τῶν Ο κείμενον, μεγάλης οὔσης ἐλλείψεως ἀντιγράφων, ὡς εὕρισκεν ὁ Ὠριγένης (¹). Ὑποθετέον τοίνυν, ὅτι ὁ ἅγιος Λουκιανὸς ἐποιεῖτο χρῆσιν τῶν Ἑξαπλῶν τοῦ Ὠριγένους, καὶ τοῦτο ἐν μέρει βεβαιοῦται ἐκ τῶν ἀντιγράφων, ἐν οἷς διεσώθησαν λείψανά τινα τῆς Λουκιανείου κριτικῆς(²).

Τὸ πόνημα τοῦ ἁγίου Λουκιανοῦ, εἰς προφύλαξιν ἀπὸ τῶν ἐχθρῶν τῆς πίστεως, κατὰ τὸν ὁμολογητικὸν αὐτοῦ ἀγῶνα διεσώθη ἐν τοίχῳ πυργίσκου, ἔνθα τὸ κιβώτιον μετὰ τοῦ χειρογράφου τεθὲν εὑρέθη ἐν Νικομηδείᾳ ἐπὶ τοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ μεγάλου (³). Τοῦτο δὲ συνέβη, πιθανῶς, καθ' ὃν χρόνον ἡ ἁγία Ἑλένη ἐπὶ τῶν θαυματουργῶν λειψάνων τοῦ ἁγίου Λουκιανοῦ ἤγειρεν μεγαλοπρεπῆ ναὸν τῷ 326 ἐν Δρεπάνῃ, ἥτις πρὸς τιμὴν αὐτῆς ὠνομάσθη Ἑλενούπολις(⁴). Ἔκτοτε ἡ ὑπὸ τοῦ Λουκιανοῦ διορθωθεῖσα μετάφρασις εἰσήχθη εἰς γενικὴν χρῆσιν. Ὁ μακάριος Ἱερώνυμος ἔλεγε περὶ τοῦ χρόνου αὐτοῦ: « Ἡ δὲ Κωνσταντινούπολις, μέχρι καὶ τῆς Ἀντιοχείας, τὰ Λουκιανοῦ τοῦ μάρτυρος ἀντίγραφα ἐγκρίνει » (⁵). Τοῦτο δηλοῖ, ὅτι ἡ Λουκιανὶς ἐγένετο δεκτὴ εἰς τὴν ἐκκλησιαστικὴν χρῆσιν πρὸ πάντων ἐν τῇ μικρᾷ Ἀσίᾳ καὶ τῇ Συρίᾳ, ἐν ᾧ ἐν Παλαιστίνῃ ὑπῆρχεν ἐν χρήσει τὸ κείμενον τῶν Ἑξαπλῶν. Ἐν τούτοις τὸ Ἀλεξανδρινὸν χειρόγραφον τῆς Γραφῆς τοῦ τέλους τοῦ τετάρτου αἰῶνος παρίστησι τὸ βιβλίον τοῦ Ἰὼβ οὐ κατὰ τὸ κείμενον τῶν Ἑξαπλῶν, ἀλλὰ κατὰ τὸ τοῦ ἁγίου Λουκιανοῦ,—καὶ ἑπομένως ἡ Λουκιανὶς ἐν τῷ τέλει τοῦ τετάρτου αἰῶνος ἦν ἤδη γνωστὴ καὶ ἐν Αἰγύπτῳ(⁶). Ἀναμ-

(¹) Ἴδ. περὶ Ὠριγέν. σημ. 42. 43.

(²) Τοῦτο κατ' ἐξοχὴν γίγνεται δῆλον ἐκ τῆς κριτικῆς τοῦ βιβλίου τοῦ Ἰώβ, τοῦ περισωθέντος ἐν τῷ Ἀλεξανδρινῷ ἀντιγράφῳ. Ἴδ. *Breitingeis* (Vetus Testam. gr. ex cod. MS Alexandrino vol. 1 -4 Teguri Helvet). prolegom. ad T. 4-tum; *Amers foord* de var. lection. Holmesian. p. 113. s. 1815. Αἱ συνεχεῖς παραπομπαὶ εἰς τὴν ἑρμηνείαν τοῦ Ἑβραίου (Montfaucon) p. 34.), ἰδίως ἐν τῷ βιβλίῳ τοῦ Ἰώβ, κατὰ τὸν Μοντφαουκόνιον, ἴσως ἀνήκουσιν εἰς τὸν Ὠριγένην, ἀλλὰ πιθανώτερον εἰς τὸν Λουκιανόν, ἴδ. σημ. 8.

(³) Σύνοψ. Ἀθανασ.

(⁴) Χρον. Ἀλεξ. Νικηφ. η, 31. Σωκρ. α, 26.

(⁵) De vir. illustr. c. 77. Præfat. in Paralipom.

(⁶) Breitinger l. c. (σημ. 16.) Bardt praelim. ad Hexapla pag. 90—96.

φιδόλως, ὅτε ἡ Κωνσταντινούπολις ἀπέβη τὸ κέντρον ἅπαντος τοῦ ὀρθοδόξου κόσμου, τότε καὶ τὸ κείμενον τοῦ ἁγίου Λουκιανοῦ ἔλαβε μείζονα σημασίαν, καὶ τῇ τῆς ἱεραρχικῆς ἐξουσίας ἑνότητι προὐφυλάχθη ἀπὸ πάσης διαφθορᾶς. Τοὐλάχιστον ὡς πρὸς τὸ κείμενον τῆς Καινῆς Διαθήκης ὡμολόγηται, ὅτι ἐν τῷ τῆς Κωνσταντινουπόλεως, ἢ ὅπερ ταυτὸν ἐν τῷ τοῦ ἁγίου Λουκιανοῦ κειμένῳ τὸ πρωτότυπον ἀποστολικὸν κείμενον διετηρήθη ἀκεραιότερον, ἢ ἐν τοῖς ἄλλοις χειρογράφοις (1).

§ 73. *Ἀπολογία· σύμβολον τῆς πίστεως καὶ ἄλλα συγγράμματα.*

Ὁ Εὐσέβιος ἔγραψεν, ὅτι ὁ ἅγιος Λουκιανός, βασιλέως ἐπιπαρόντος (τοῦ Μαξιμίνου), τὴν οὐράνιον τοῦ Χριστοῦ βασιλείαν καὶ λόγῳ (Ἀπολογίᾳ) καὶ ἔργῳ ἀνεκήρυξεν (2). Ὁ Ρουφῖνος ἐν τῇ ἱστορίᾳ αὐτοῦ διεφύλαξεν ἐν μέρει αὐτὴν τὴν Ἀπολογίαν (3). Ἐνταῦθα ὁ ἀπολογητὴς λόγον ποιούμενος περὶ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ Χριστοῦ, ἔγραφεν: « αὐτῷ τῷ τόπῳ χρῶμαι μαρτυρίᾳ, ἔνθα τοῦτο συνέβη· αὐτὸς ὁ τόπος συμφωνεῖ ἐμοί.—Τὸ ὄρος Γολγοθᾶ, τὸ σχισθὲν ὑπὸ τὴν δόξαν τοῦ Σταυροῦ, ἐκεῖνο τὸ σπήλαιον, ὅπερ μετὰ τὴν ἄνοιξιν τῶν εἰσόδων τοῦ ᾅδου, ἀπέδωκεν αὖθις τὸ ἐμψυχωθὲν σῶμα, ἵνα λαμπρότερον ἀνέλθῃ εἰς τὸν Οὐρανόν . . . Φέρω ὑμῖν ὡς μάρτυρα αὐτὸν τὸν Οὐρανόν, ὃς θεασάμενος τὸ ἐπὶ γῆς ὑπὸ τῶν ἀσεβῶν τελούμενον, ἔκρυψε τὸ φῶς αὐτοῦ, μεσημβρίας οὔσης. Ἐρευνήσατε τὰ χρονικὰ ὑμῶν καὶ εὑρήσετε, ὅτι ἐπὶ τοῦ Πιλάτου, ὅτε ἔπαθεν ὁ Χριστός, ἐγένετο ἔκλειψις τοῦ Ἡλίου (4).

Οἱ ἐπίσκοποι τῆς ἐν Ἀντιοχείᾳ τῷ 341 συγκροτηθείσης συνόδου

(1) Μετὰ τὸν Ματτέον (N. Testam. ex cod. Mosquens. T. 1-2. Riquæ 1788. N. Testam. T. 1-3. Witemb. 1803-806.) ἀπέδειξαν τοῦτο διὰ παραβολῆς τῶν χειρογράφων ὁ Sholz (curæ criticæ ad N. Test. Heidelb. 1820. Nov. Testam. Lipsiæ, 1830), καὶ ὁ Ρίγκ.

(2) Εὐσ. ἐκκλ. ἱστ. η, 13. Θ, 6.

(3) Ἐκκλ. ἱστορ. Θ, 6.

(4) Τὰ αὐτὰ περὶ τοῦ Γολγοθᾶ ἔγραψε καὶ ὁ ἅγιος Κύριλλος ὁ Ἱεροσολύμων ἐν τῇ ιγ΄. Κατηχ. Περὶ δὲ τῆς ἐκλείψεως τοῦ Ἡλίου παραπέμπει ὁ Τερτυλλιανὸς εἰς τὰ χρονικὰ ἐν τῷ κά. κεφαλαίῳ τοῦ Ἀπολογητικοῦ αὐτοῦ.

προὔβαλλον τὸ σύμβολον τῆς πίστεως εἰς τὴν ἁγ. Τριάδα, καὶ ἔλεγον, ὅτι ἅπαν τοῦτο τὸ σύμβολον ἐγράφη τῇ χειρὶ αὐτοῦ τοῦ Λουκιανοῦ, τοῦ ἐν Νικομηδείᾳ μαρτυρήσαντος (1). Ἀρχαῖος, ἀλλ' ἄγνωστος τὸ ὄνομα συγγραφεὺς βιβλίου περὶ τῆς ἁγίας Τριάδος, λέγει, ὅτι τὸ σύμβολον τοῦτο ἀνήκει εἰς τὸν ἅγιον Λουκιανόν. Ὁ ἅγιος Ἀθανάσιος καὶ ὁ Ἱλάριος ἐτήρησαν τὸ αὐτὸ σύμβολον ἐν τοῖς ἑαυτῶν συγγράμμασιν, ὡς ἐπίσημον μνημεῖον τῆς πίστεως, καὶ οὐδὲ λέξιν εἶπον, ὅτι τὸ σύμβολον τοῦτο οὐκ ἀνῆκεν εἰς τὸν ἅγιον Λουκιανόν (2). Ἐπὶ τοῦ Οὐάλεντος ἡ ἐν Ταρσῷ σύνοδος ἐμνημόνευσε πάλιν τοῦ συμβόλου τοῦ ἁγίου Λουκιανοῦ (3). Εἰ καί, ὡς γνωστόν, οἱ τῷ 341 ἐν τῇ συνόδῳ συνελθόντες ἦσαν ἐν μέρει Ἀρειανοί, ὅμως τοῦτο καὶ ὁ τόπος τῆς συνόδου ἔτι μᾶλλον ἐπιβεβαιοῦσι τὸ γνήσιον τοῦ συμβόλου, ἅτε δὴ περιέχοντος μομφὴν κατὰ τοῦ ἀρειανισμοῦ καὶ πληρέστατα συμφωνοῦντος ταῖς τοῦ χρόνου τοῦ ἁγίου Λουκιανοῦ περιστάσεσιν. Ἐκ τοῦ περιεχομένου τοῦ συμβόλου δῆλον, ὅτι ἐγράφη κατὰ Σαβελλίου καὶ Παύλου τοῦ Σαμοσατέως, ὡς ἐσημείωσεν ὁ Ἱλάριος. «Πιστεύομεν ἀκολούθως τῇ εὐαγγελικῇ καὶ ἀποστολικῇ παραδόσει εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, τὸν τῶν ὅλων Δημιουργόν τε καὶ Ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν Αὐτοῦ τὸν μονογενῆ Θεόν, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν γεννηθέντα πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρός, Θεὸν ἐκ Θεοῦ, ὅλον ἐξ ὅλου, μόνον ἐκ μόνου, τέλειον ἐκ τελείου, βασιλέα ἐκ βασιλέως, Κύριον ἀπὸ Κυρίου, Λόγον ζῶντα, σοφίαν, ζωήν, φῶς ἀληθινόν, ὁδὸν ἀληθείας, ἀνάστασιν, ποιμένα, θύραν· ἄτρεπτόν τε καὶ ἀναλλοίωτον· τὴν τῆς Θεότητος, οὐσίας τε καὶ δυνάμεως καὶ βουλῆς καὶ

(1) Σωζόμ. γ'. 15. Νικήφ. Θ, 5.

(2) Διάλ. περὶ τῆς ἁγ. Τριάδ. Τ. 2. σελ. 224. ἐπ. περὶ τῶν γενομένων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκ. τῆς Ἰσαυρ. συν. Τ. Ι. σελ. 980. Hilar. de Syn. pag. 1168.

(3) Σωζόμ. ἐκκλ. ἱστορ. ς'. 12. « Ἤδη δὲ συνίστασθαι μελλούσης τῆς ἐν Ταρσῷ συνόδου, συνελθόντες ἐν Καρίᾳ τῆς Ἀσίας ἀμφὶ τριάκοντα τέσσαρες τῶν Ἀσιανῶν ἐπισκόπων, τὴν μὲν ἐπὶ τῇ ὁμονοίᾳ τῶν Ἐκκλησιῶν σπουδὴν ἐπῄνουν· παρῃτοῦντο δὲ τὸ τοῦ ὁμοουσίου ὄνομα· καὶ τὴν ἐν Ἀντιοχείᾳ καὶ Σελευκείᾳ ἐκτεθεῖσαν πίστιν χρῆναι κρατεῖν ἰσχυρίζοντο, ὡς καὶ Λουκιανοῦ τοῦ μάρτυρος οὖσαν...»

δόξης τοῦ Πατρὸς ἀπαράλλακτον εἰκόνα· τὸν πρωτότοκον πάσης κτίσεως· τὸν ὄντα ἐν ἀρχῇ πρὸς τὸν Θεόν, Λόγον Θεόν, κατὰ τὸ εἰρημένον ἐν τῷ Εὐαγγελίῳ. Καὶ Θεὸς ἦν ὁ Λόγος, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ ἐν ᾧ τὰ πάντα συνέστηκε· τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθόντα ἄνωθεν, καὶ γεννηθέντα ἐκ Παρθένου κατὰ τὰς Γραφάς· καὶ ἄνθρωπον γενόμενον, μεσίτην Θεοῦ καὶ ἀνθρώπων, ἀπόστολόν τε τῆς πίστεως ἡμῶν, καὶ ἀρχηγὸν τῆς ζωῆς, ὥς φησιν, ὅτι Καταβέβηκα ἐκ τοῦ Οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με· τὸν παθόντα ὑπὲρ ἡμῶν, καὶ ἀναστάντα ὑπὲρ ἡμῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς Οὐρανούς, καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ Πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης καὶ δυνάμεως κρῖναι ζῶντας καὶ νεκρούς. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ εἰς παράκλησιν καὶ ἁγιασμόν, καὶ εἰς τελείωσιν τοῖς πιστεύουσι διδόμενον· καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διετάξατο τοῖς μαθηταῖς λέγων: Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· δῆλον ὅτι Πατρὸς ἀληθινῶς ὄντος Πατρός, καὶ Υἱοῦ ἀληθινῶς Υἱοῦ ὄντος, καὶ Πνεύματος ἁγίου ἀληθῶς ὄντος Πνεύματος ἁγίου· τῶν ὀνομάτων οὐχ' ἁπλῶς, οὐδὲ ἀργῶν κειμένων, ἀλλὰ σημαινόντων ἀκριβῶς τὴν ἰδίαν ἑκάστου τῶν ὀνομαζομένων ὑπόστασίν τε καὶ δόξαν καὶ τάξιν, ὡς εἶναι τῇ μὲν ὑποστάσει τρία, τῇ δὲ συμφωνίᾳ ἕν » (¹).

Ὁ Ἱερώνυμος ἔγραψε περὶ τοῦ ἁγίου Λουκιανοῦ: «Γνωσταὶ αἱ βίβλοι αὐτοῦ περὶ πίστεως καὶ αἱ πρός τινας ἐπιστολαί» (²). Αἱ πρῶται εἰσιν ἄγνωστοι, καὶ ἐκ τῶν τελευταίων οὐ πολλαὶ ἀφίκοντο μέχρις ἡμῶν. Ἐν τούτοις ὁ Σουΐδας ἔγραφεν: «Οὐ μὴν δ' ἀλλὰ καὶ τὴν καθαρότητα τῶν Θείων δογμάτων παρὰ τούτῳ τις ἂν κάλλιστα τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων ἐπ' ἄκρον εὕροι φυλαττομένην· ἐξέθετο γὰρ καὶ ἐπιστολὰς ἀμέλει γενναιοτάτας, ἐξ ὧν φωράσαι τις ἂν εὖ μάλα ῥᾳδίως, ἣν ὁ ἀνὴρ ἐπὶ τῶν θείων ἔσωζε γνώμην» (³).

(¹) Τὸ σύμβολον τοῦτο ἐξεδόθη ἀκριβῶς ὑπὸ τοῦ *Ἂν* Bibliothek d. Symbole und Glaubenslehren, Breslau, 1842.

(²) De vir. illustr. c. 77.

(³) Μέρος ἐπιστολῆς διεσώθη ἐν τῷ

§ 74. *Βίος Μεθοδίου τοῦ Τύρου· συγγράμματα αὐτοῦ.*

Ὅσῳ μᾶλλον ὑπάρχει ὀνομαστὸς ὁ ἅγιος Μεθόδιος(1) διὰ τὰ συγγράμματα αὐτοῦ, τόσῳ ἧττον γνωστός ἐστιν ὁ βίος αὐτοῦ. Ἐκ τῶν συγγραμμάτων αὐτοῦ γίγνεται δῆλον, ὅτι ἔλαβεν εὐρεῖαν ἑλληνικὴν ἐκπαίδευσιν. Κατὰ τὸν ἅγιον Ἱερώνυμον, ἦν τὸ μὲν πρῶτον ἐπίσκοπος Ὀλύμπου τῆς Λυκίας, ἔπειτα δὲ Τύρου (2). Ἄλλοι ὀνομάζουσιν αὐτὸν ὁτὲ μὲν Ὀλύμπου (3), ὁτὲ δὲ Πατάρων (4). Ὅτι ὁ Μεθόδιος διῴκει ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ τὰς Ἐκκλησίας τοῦ Ὀλύμπου καὶ τῶν Πατάρων, διῃρημένας ἀπὸ τῆς Ἐκκλησίας τῶν Μύρων, τοῦτο οὐχ ὑπῆρχε πρωτοφανὲς ἐν τοῖς καιροῖς τῶν διωγμῶν. Τὰ δὲ ἴδια αὐτοῦ συγγράμματα μαρτυροῦσιν, ὅτι ὁ μακάριος ποιμὴν μετέβαινε μετὰ μεγάλου κόπου ἐκ τοῦ Ὀλύμπου εἰς τὰ Πάταρα

Ἀλεξανδρινῷ χρονικῷ σελ. 277, καὶ ἐξεδόθη ὑπὸ Ρουθίου, ὃς ἐξέδωκε καὶ τεμάχιον ἐκ τῆς εἰς τὸ βιβλίον τοῦ Ἰὼβ ἑρμηνείας τοῦ Λουκιανοῦ ὡς καὶ τῆς Ἀπολογίας. Reliquiæ Securæ T. 3. pag. 283—296.

(1) Ὁ Ἐπιφάνιος ἀναφέρων λόγους τινὰς τοῦ Μεθοδίου, γράφει: «Ταῦτα μὲν οὖν ἐστιν ἀπὸ μέρους καθ' εἱρμὸν τῶν ὑπὸ τοῦ μακαρίου Μεθοδίου, τοῦ καὶ Εὐβουλίου . . .» (αἵρ. ξδ΄. κεφ. 63), ὑπὸ τὸ ὄνομα τοῦ Εὐβουλίου μνημονεύεται ὁ Μεθόδιος ἐν τῷ *περὶ ἀναστάσεως* διαλόγῳ. Ἐν τῷ διαλ. *συμπόσιον τῶν δέκα παρθένων* λέγεται καὶ Μεθόδιος καὶ Εὐβούλιος. Τὸ τελευταῖον δείκνυσι σαφῶς, ὅτι ἦν ὄνομα πρόσθετον.

(2) Hieron. de vir. illustr. c. 83. «Methodius Olympi Lyciæ, et postea Tyri episcopus».

(3) Ἐκτὸς τοῦ Ἱερωνύμου ὁ Σωκράτης ἐκκλ. ἱστορ. ς΄. 13 λέγει: «Τοῦτο πέπονθε πρῶτος Μεθόδιος, τῆς ἐν Λυκίᾳ πόλεως λεγομένης Ὀλύμπου ἐπίσκοπος».—Πρβλ. Μάξ. Σχόλ. εἰς Διονύσιον τὸν Ἀρεοπαγίτην περὶ ἐκκλ. ἱεραρχ. κεφ. ζ΄. «Ἀνάγνωθι Μεθοδίου τοῦ ἁγίου μάρτυρος, καὶ Ὀλύμπου Ἀδριανουπόλεως ἐπισκόπου τῆς Λυκίας, τὰ κατ' αὐτοῦ (Ὠριγένους) περὶ ἀναστάσεως γραφέντα».

(4) Λεόντιος ὁ Βυζάντιος περὶ αἱρέσ. πρᾶξ. γ. «Ἐγένοντο δὲ ἐν τοῖς χρόνοις τοῖς ἀπὸ τῆς Γεννήσεως τοῦ Χριστοῦ μέχρι τῆς βασιλείας Κωνσταντίνου διδάσκαλοι καὶ Πατέρες οἵδε: Ἰγνάτιος ὁ Θεοφόρος, Εἰρηναῖος, Ἰουστῖνος φιλόσοφος καὶ μάρτυς, Κλήμης, καὶ Ἱππόλυτος ἐπίσκοπος Ρώμης, Διονύσιος Ἀρεοπαγίτης, Μεθόδιος ἐπίσκοπος Πατάρων . . . .» Ἰωάννης ὁ Δαμασκ. λόγ. γ΄. περὶ εἰκόνων.

πρὸς ἐπίσκεψιν τῶν ἀδελφῶν. Πρὸ ὀλίγων ἡμερῶν, γράφει ἐν τῷ περὶ ἀναστάσεως συγγράμματι, μετέβην εἰς Πάταρα ἐπιθυμῶν ἰδεῖν τὸν Θεόφυλον (1). Πρὸς τούτοις οἱ ἀρχαῖοι συγγραφεῖς ἀποδιδοῦσι τὸ περὶ ἀναστάσεως σύγγραμμα τῷ τε ἐπισκόπῳ Πατάρων καὶ τῷ τοῦ Ὀλύμπου, θεωροῦντες ἓν καὶ τὸ αὐτὸ πρόσωπον Μεθόδιον τῶν Πατάρων καὶ τὸν τοῦ Ὀλύμπου (2). Ἐκ τῶν ἰδίων αὐτοῦ λόγων γίγνεται δῆλον, ὅτι τὰ συγγράμματα αὐτοῦ τὸ συμπόσιον τῶν Παρθένων, καὶ τὸ περὶ ἀναστάσεως προὐξένησαν αὐτῷ δυσαρεστήσεις (3), ἀλλὰ πῶς καὶ διὰ τίνος, ἄγνωστον. Οὕτως ὁ σφόδρα ὑπὲρ τῆς ἀληθείας ἀγωνισάμενος, ὡς λέγει ὁ Ἐπιφάνιος(4), διήγαγε τὸν βίον οὐκ ἄνευ θλίψεων. Ἀλλὰ τοῦτο ἦν αὐτῷ μικρόν. Ὡς ἀληθὴς ποιμὴν ὁ ἅγιος Μεθόδιος ἐκ τῆς πρὸς τὸν Κύριον ἀγάπης καὶ πρὸς οἰκοδομὴν τῶν ποιμαινομένων ἐπεσφράγισε τὴν πίστιν αὐτοῦ, ἀναδησάμενος τὸν τοῦ μαρτυρίου στέφανον. Τοῦτο μαρτυροῦσιν ἅπαντες οἱ ἀρχαῖοι, εἰ καὶ οὐχ ὁρίζουσι μετ᾽ ἀκριβείας τὸν χρόνον τοῦ μαρτυρικοῦ αὐτοῦ θανάτου. Ὁ μακάριος Ἱερώνυμος γράφει: «Καὶ περὶ τὸ τέλος τοῦ διωγμοῦ, ἤ, ὡς ἄλλοι διϊσχυρίζονται, ἐπὶ Δεκίου καὶ Οὐαλεριανοῦ ἐν Χαλκίδι τῆς Ἑλλάδος μαρτυρίῳ ἐστέφθη» (5). Ὅτι δὲ ὁ Μεθόδιος ἐπέζη τῷ Οὐαλεριανῷ, δεικνῦσι τὰ κατὰ Ὠριγένους συγγράμματα αὐτοῦ, καὶ κατ᾽ ἐξοχὴν τὸ κατὰ τοῦ ἐθνικοῦ Πορφυρίου σύγγραμμα, γράψαντος μετὰ τὸν Οὐαλεριανὸν καὶ οὐ πρὸ τοῦ 270ου σωτηρίου ἔτους (6). Ἐν τῷ Διοκλητιανείῳ

(1) Ἐν τῷ αὐτῷ συγγράμματι λέγει, ὅτι εἶδε τὸ ὄρος Ὄλυμπον. Τοῦ αὐτοῦ ὄρους μνημονεύει δὶς καὶ *ἐν τῷ συμποσίῳ τῶν Παρθένων*, λόγ. Θ. σελ. 127. Λόγ. Ι. σελ. 131.

(2) Ὁ Ἱερώνυμος καὶ ὁ Μάξιμος καλοῦσι τὸν *περὶ ἀναστάσεως* γράψαντα ἐπίσκοπον Ὀλύμπου· ὁ δὲ Λεόντιος καὶ ὁ Δαμασκηνὸς Πατάρων. Ὡσαύτως ἐν τῷ κανόνι τοῦ ἁγίου Μεθοδίου καὶ ἐν τῷ διαταγῇ τοῦ Αὐτοκράτορος Βασιλείου ἐκδοθέντι μηνολογίῳ ὁ συγγραφεὺς τοῦ *συμποσίου τῶν Παρθένων* καλεῖται ἐπίσκοπος Πατάρων, παρὰ δὲ τῷ Ἱερωνύμῳ ἐπίσκοπος Ὀλύμπου-καὶ ἔπειτα Τύρου.

(3) Περὶ τούτου ποιεῖται λόγον ἐν τῷ συγγράμματι *περὶ διαφορᾶς τῶν ἐδεσμάτων* (σημ. 15).

(4) Ἐπιφάν. αἱρ. ξδ΄. §. 63.

(5) De vir. illustr. c. 83.

(6) Ὁ Οὐαλεριανὸς ἀπέθανε τῷ 261· ὁ δὲ Πορφύριος τῷ 264 τριακονταετὴς ὢν μετέβη εἰς Ρώμην ἀ-

διωγμῷ ἡ Ἐκκλησία τῆς Τύρου, ὡς γνωστόν, κατέστη περικλεὴς διὰ τὴν σταθερότητα τῶν μαρτύρων αὐτῆς (¹). Ἀναμφιβόλως οὐ σμικρὸν συνετέλεσεν εἰς τοῦτο ἡ σταθερότης τοῦ Ποιμένος τῆς Ἐκκλησίας ταύτης ἁγίου Μεθοδίου, κοσμηθέντος καὶ αὐτοῦ τῷ στεφάνῳ τοῦ μαρτυρίου ἐν Χαλκίδι τῆς Ἑλλάδος (²), καί, κατὰ πᾶσαν πιθανότητα, μετατεθέντος πρὸς τὴν κρείττονα ζωὴν οὐ πρὸ τοῦ 310ου ἔτους (³).

«Μεθόδιος, γράφει ὁ μακάριος Ἱερώνυμος, Ὀλύμπου τῆς Λυκίας,

κροασόμενος τοῦ Πλωτίνου· ἐκ τῆς Ῥώμης ἀπῆλθεν εἰς Σικελίαν οὐ πρὸ τοῦ 270 (Luc. Holsten. de vit. et script. Porphyrii). Τὰ κατὰ τοῦ χριστιανισμοῦ ἀσεβῆ αὐτοῦ συγγράμματα, ὡς καὶ ἄλλα, συνέγραψεν ἐν Σικελίᾳ (Εὐσέβ. ἐκκλ. ἱστορ. ς. 19). Ὁ Ἱερώνυμος ποιεῖται μνείαν τοῦ κατὰ Πορφυρίου συγγράμματος τοῦ Μεθοδίου (de vir. illustr. c. 83). Ἐν ἄλλῳ δὲ συγγράμματι (Praef. in comment. Daniel.),—ὁ Ἱερώνυμος εἰπών, ὅτι πάνυ ἀκριβῶς ἀπεκρίναντο τῷ Πορφυρίῳ ὁ Εὐσέβιος καὶ ὁ Ἀπολινάριος, προσέθηκε: «καὶ πρὸ αὐτῶν ἐν μέρει ὁ Μεθόδιος». Οἱ τελευταῖοι λόγοι δηλοῦσιν, ὅτι τὸ κατὰ Πορφυρίου σύγγραμμα οὐκ ἐπερατώθη ὑπὸ τοῦ ἁγίου Μεθοδίου, καὶ κυρίως ἕνεκα τοῦ μαρτυρικοῦ αὐτοῦ θανάτου.

(¹) Εὐσέβ. ἐκκλ. ἱστορ. η. 7.

(²) Ὁ Φαβρίκιος παρ' Ἱερωνύμῳ (de vir. illustr. c. 83) ἀναγινώσκει οὐχὶ in Chalcide Graeciæ, ἀλλὰ in Chalcide Syriæ· ὁ δὲ Σωφρόνιος μετέφρασεν *ἐν Χαλκίδι τῆς Ἀνατολῆς*. Τὸ αὐτὸ λέγει καὶ ὁ Σουΐδας (λ. Μεθόδιος). Τοῦτο φαίνεται ἀληθές, διότι ὁ Μεθόδιος ἦν καὶ Τύρου ἐπίσκοπος.

(³) Τοὺς λόγους τοῦ Ἱερωνύμου ad extremum novissimæ persecutionis τινὲς ἐννοοῦσιν ὧδε: in initio novissimæ persecutionis· ἀλλὰ τὸ ad extremum συνήθως δηλοῖ οὐ τὸν πρῶτον, ἀλλὰ τὸν τελευταῖον ὅρον, τέλος. Ὁ Σωφρόνιος μεταφράζει: *περὶ τὰ τελευταῖα τοῦ διωγμοῦ*. Ὁ Κεϊλλίερος, ὁ Μοΐλερ, καὶ ὁ Φέσλερος ἀναφέρουσι τὸν θάνατον τοῦ ἁγίου Μεθοδίου εἰς τὸ 311ον ἔτος. Ὁ Εὐσέβιος (ἐκκλ. ἱστορ. η. 13.) ἐν τοῖς μάρτυσι τοῦ διοκλητιανείου χρόνου μνημονεύει Τυραννίωνος ἐπισκόπου τῆς κατὰ Τύρον Ἐκκλησίας, ἀλλ' ὁ αὐτὸς λέγει (η, 9), ὅτι τότε «καὶ πάλιν ἄλλοτε ἑκατὸν ἐν ἡμέρᾳ μιᾷ ἄνδρες ἅμα κομιδῇ νηπίοις καὶ γυναιξὶν ἐκτείνοντο». Ἡ μνήμη τοῦ ἁγίου Μεθοδίου τελεῖται ἐν μὲν τῇ ἑλλην. Ἐκκλησίᾳ τῇ κ'. Ἰουνίου, ἐν δὲ τῇ ῥωμαϊκῇ τῇ ιη'. Σεπτεμβρίου.

καὶ μετὰ ταῦτα Τύρου ἐπίσκοπος, λαμπροῦ καὶ σαφοῦς λόγου κατὰ Πορφυρίου συνέταξε τεύχη· καὶ Συμπόσιον δέκα Παρθένων· περὶ ἀναστάσεως λόγον ἄριστον κατὰ Ὠριγένους· κατὰ τοῦ αὐτοῦ περὶ Πυθωνίσσης καὶ περὶ αὐτεξουσίου· εἰς τὴν Γένεσίν τε καὶ εἰς τὰ Ἄσματα τῶν ᾀσμάτων ὑπομνήματα, καὶ ἕτερα πολλὰ κοινῶς (vulgo) ἀναγινωσκόμενα» (¹).

Τὰ συγγράμματα τοῦ Μεθοδίου διαπρέπουσιν ὄντως ἐπὶ λαμπρᾷ καὶ σαφεῖ εὐγλωττίᾳ. Ἐκτὸς δὲ τούτου διακριτικὸν αὐτῶν γνώρισμά ἐστιν ἡ διαλεκτικὴ λεπτότης ἐν τῇ ἐκθέσει τῆς ὑποθέσεως. Ὁ Μεθόδιος, ὡς δῆλον ἐκ τῶν συγγραμμάτων αὐτοῦ, ἐγίγνωσκε μὲν ἄριστα τὸν Πλάτωνα, ἀλλ' ἡ τοῦ πνεύματος αὐτοῦ τάσις ἦν μᾶλλον ἀριστοτελική, ἢ πλατωνική. Ἡ πρὸς τὴν διαλεκτικὴν ἀγάπη τοῦ Σταγειρίτου καὶ πρὸς τὴν λογικὴν τῶν ἐννοιῶν διάταξιν, ὁρᾶται ἐν πᾶσιν αὐτοῦ τοῖς συγγράμμασιν. Ὁ ἅγιος Ἀναστάσιος ὁ Σιναΐτης, εἰπὼν τὸν Μεθόδιον πλούσιον τὴν σοφίαν (²), ἐχαρακτήρισεν ἀκριβέστατα τὸ πνεῦμα αὐτοῦ.

Ἐκ τοῦ ἱερωνυμείου καταλόγου τῶν συγγραμμάτων τοῦ Μεθοδίου δῆλον, ὅτι ἠσχολήθη α] περὶ τὴν ὑπεράσπισιν τῆς πίστεως κατὰ τοῦ ἐθνισμοῦ· β] περὶ τὴν ἔκθεσιν τῶν τῆς πίστεως δογμάτων· γ] περὶ τὴν ἠθικὴν διδασκαλίαν, καὶ δ] τέλος περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς (³).

(¹) De vir. illustr. c. 83. Τὸ αὐτὸ ἐπαναλαμβάνει ὁ Σουΐδας.

(²) Alber. Fapric. ed op. S. Hippolyti. 2, 75—95.

(³) Τὰ συγγράμματα τοῦ ἁγίου Μεθοδίου ἐξεδόθησαν ὑπὸ Κομβεφισίου Opp. S. Methodii, Amphilochii, et Andr. Cretensis, Paris. 1644. πληρέστερον in Actuar. noviss. T. I. Paris. 1672 μετὰ νέων συμπληρώσεων καὶ σημειώσεων· ὑπὸ Γαλλανδίου in III tom. Bibl. Patr. p. 670 καὶ ἐν τῷ 18 Τόμ. τῆς Πατρολογ. τοῦ Μιγνίου, Paris. 1857 Ἀρχαία σλαβικὴ μετάφρασις τῶν συγγραμμάτων τοῦ ἁγίου Μεθοδίου διασώζεται ἐν τῇ βιβλιοθήκῃ τῆς πνευματικῆς Ἀκαδημίας τῆς Μόσχας. Τὸ χειρόγραφον τοῦτο ἐγράφη οὐ πρὸ τοῦ ις΄. αἰῶνος· ἡ γλῶσσα τῆς μεταφράσεώς ἐστι πάνυ ἀρχαία, καὶ ἡ μετάφρασις οὕτω σκοτεινή, ὥστε ἐλέγχεται ὁ Ἕλλην μεταφραστὴς οὐ γινώσκων καλῶς τὴν σλαβικὴν γλῶσσαν. Ἐν τῷ χειρογράφῳ τούτῳ εὑρηνται τὰ ἑπόμενα συγγράμματα τοῦ

α] Τὸ κατὰ Πορφυρίου σύγγραμμα, ἐξαιρέσει λέξεών τινων περισωθεισῶν ὑπὸ τοῦ Δαμασκηνοῦ, πρὸ πολλοῦ ἀπωλέσθη, διὸ ἡ περὶ αὐτοῦ μνεία τοῦ Ἱερωνύμου χρησιμεύει μόνον ὡς ἱστορικὸν μνημεῖον.

§ 75. *Δογματικὴ διδασκαλία.*

β] Δογματικὸν ἅμα καὶ πολεμικὸν σύγγραμμά ἐστι: 1] τὸ περὶ αὐτεξουσίου, ὅπερ γνωστὸν ἐν τῇ ἑλληνικῇ γλώσσῃ ἐκ τῶν δημοσιευθεισῶν ἐκδόσεων μόνον ἐν τεμαχίοις, ἀλλὰ διασωθὲν πλῆρες ἐν τῇ ἀρχαίᾳ σλαβικῇ μεταφράσει, ἐστὶ διάλογος Οὐαλεντινιανοῦ τινος πρὸς ὀρθόδοξον χριστιανόν. Κατὰ τὴν ὑπόθεσιν τὸ σύγγραμμα τοῦτο διαιρεῖται εἰς δύο μέρη· ἐν μὲν τῷ πρώτῳ ἀνασκευάζεται ἡ δοξασία τοῦ Οὐαλεντινιανοῦ, ὅτι ἡ ὕλη ἐστὶν ἀρχὴ τοῦ κακοῦ, συναΐδιος τῷ Θεῷ, ἐν δὲ τῷ δευτέρῳ δείκνυται, ὅτι τὸ κακόν ἐστιν ἀποτέλεσμα τῆς δημιουργηθείσης ἐλευθέρας θελήσεως(¹).

Μετὰ τὸ προοίμιον, ἐν ᾧ γίγνεται λόγος περὶ τῆς ἐκ τῆς ἀκροάσεως τοῦ λόγου τοῦ Θεοῦ προσγιγνομένης ὠφελείας, ὁ Οὐαλεντινιανός, δεικνὺς τὰς ἐν τῷ κόσμῳ ἀντιθέτους ἐμφανίσεις τοῦ εὐτάκτου καὶ ἀτάκτου, τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, λέγει, ὅτι ἐκτὸς τοῦ Θεοῦ, τῆς πηγῆς παντὸς ἀγαθοῦ, ὑπάρχει ἀρχὴ τοῦ κακοῦ, συναΐδιος τῷ Θεῷ, ἡ ὕλη. Ὁ Δημιουργὸς Θεὸς διεκόσμησε τὴν ὕλην, χωρίσας τὸ ἐν αὐτῇ ἀγαθὸν τοῦ κακοῦ, ἀλλὰ τὸ κακόν, ἀντίθετον ὂν τῷ Θεῷ, ἐμφανίζεται ἐν τῷ κόσμῳ.

«Ὅτι μὲν οὖν ὑπάρχειν ἀδύνατον, ἀποκρίνεται ὁ ὀρθόδοξος, ἀγένητα δύο ἅμα, οὐδὲ σὲ ἀγνοεῖν νομίζω, εἰ καὶ τὰ μάλιστα δοκεῖς προλαβὼν τοῦτο προτεθεικέναι τῷ λόγῳ. Ὡς πάντως ἐξ ἀνάγκης

ἁγίου Μεθοδίου: α΄] περὶ Θεοῦ καὶ ὕλης· β΄] λόγος περὶ βίου καὶ πράξεως· γ΄] τρεῖς λόγοι περὶ ἀναστάσεως· δ΄] περὶ διαφορᾶς τῶν ἐδεσμάτων· ε΄] πρὸς Ἰστέλιον περὶ λέπρας· ς΄] εἰς τό: οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

(¹) Τὸ πρῶτον μέρος ἐν τῇ ἑλληνικῇ γλώσσῃ διεσώθη μόνον ἐν τεμαχίοις, ἅτινα συνελέγησαν καὶ ἐξεδόθησαν ὑπὸ Κομβεφισίου καὶ Γαλλανδίου, ἀλλ' οὐχ ἅπαντα· ὁ Μάϊος ἐξέδωκε προσέτι δύο τεμάχια (Collect. vet. Auct. 7, 92, 93). Τὸ δεύτερον μέρος, ἐξαιρέσει χωρίων τινῶν, διεσώθη μόνον ἐν τῇ σλαβικῇ μεταφράσει.

τὸ ἕτερον δεῖ λέγειν, ἢ ὅτι κεχώρισται τῆς ὕλης ὁ Θεός, ἢ αὖ πάλιν ὅτι ἀμέριστος αὐτῆς τυγχάνει. Εἰ μὲν οὖν ἡνῶσθαί τις εἰπεῖν αὐτὰ ἐθέλοι, ἓν τὸ ἀγένητον λέξει· (ἕκαστον γὰρ τούτων μέρος ἔσται τοῦ πλησίον·) ἀλλήλων δὲ μέρη τυγχάνοντα, οὐκ ἔσται ἀγένητα δύο, ἀλλ' ἓν ἐκ διαφόρων συνεστός. Οὐδὲ γὰρ τὸν ἄνθρωπον ἔχοντα διάφορα μέλη κατακερματίζομεν εἰς πολλὰ γενητά. Ἀλλ' ἤ, ὡς ὁ λόγος ἀπαιτεῖ, ἕν τι γενητόν, τὸν ἄνθρωπον, πολυμερές, πρὸς τοῦ Θεοῦ γεγονέναι φαμέν. Οὕτως ἀνάγκη, εἰ μὲν μὴ κεχώρισται τῆς ὕλης ὁ Θεός, ἓν τὸ ἀγένητον εἶναι λέγειν· εἰ δὲ κεχωρίσθαι, φήσει τις, ἀνάγκη εἶναί τι τὸ ἀνὰ μέσον ἀμφοτέρων, ὅπερ καὶ τὸν χωρισμὸν αὐτῶν δείκνυσιν. Ἀδύνατον γὰρ ἐν διαστάσει ἐξητάσθαι τι ἀπό τινος, οὐκ ὄντος ἑτέρου, καθ' ὃ ἡ διάστασις ἑκατέρου γίνεται. Ὅπερ οὐ μέχρι τούτου ἵσταται καὶ μόνου, ἀλλὰ καὶ πλείστων ὅσων. Ὃν γὰρ ἐπὶ τῶν δύο ἀγενήτων εἴπαμεν λόγον, τοῦτον ἐξ ἀνάγκης ὁμοίως προχωρεῖν, εἰ τὰ ἀγένητα δοθείη τρία. Καὶ γὰρ περὶ τούτων ἐροίμην ἄν, εἰ κεχώρισται ἀπ' ἀλλήλων, ἢ αὖ πάλιν ἕκαστον ἥνωται τῷ πλησίον. Εἰ μὲν γὰρ ἡνῶσθαί τις εἰπεῖν θέλοι, τὸν αὐτὸν ἀκούσει τῷ πρώτῳ λόγον· εἰ δ' αὖ πάλιν κεχωρίσθαι, οὐ φεύξεται τὴν ἐξ ἀνάγκης τοῦ χωρίζοντος ἀπόστασιν. Ἂν δ' ἄρα τις καὶ τρίτον εἶναι λέξῃ λόγον ἁρμόζοντα περὶ τῶν ἀγενήτων λελέχθαι, τουτέστι τὸ μήτε κεχωρίσθαι τὸν Θεὸν τῆς ὕλης, μήτ' αὖ πάλιν ὡς μέρη ἡνῶσθαι· εἶναι δέ, καθάπερ ἐν τόπῳ, τῇ ὕλῃ τὸν Θεόν, καὶ τὴν ὕλην ἐν τῷ Θεῷ τὸ συνέχον· ἀκουέτω, ὅτι, ἐὰν τόπον τοῦ Θεοῦ τὴν ὕλην λέγωμεν, ἐξ ἀνάγκης αὐτὸν καὶ χωρητὸν λέγειν δεῖ, καὶ πρὸς τῆς ὕλης περιγραφόμενον. Ἀλλὰ μὴν καὶ ὁμοίως αὐτὸν τῇ ὕλῃ ἀτάκτως φέρεσθαι δεῖ. Μὴ ἵστασθαι δέ, μηδὲ μένειν αὐτὸν ἐφ' ἑαυτοῦ, ἀνάγκη, τοῦ ἐν ᾧ ἐστιν ἄλλοτε ἄλλως φερομένου. Πρὸς δὲ τούτοις καὶ ἐν χείροσι γεγονέναι τὸν Θεὸν εἰπεῖν ἀνάγκη. Εἰ γάρ ποτε ἄκοσμος ἦν ἡ ὕλη, ἐκόσμησε δὲ αὐτήν, εἰς τὸ κρεῖττον τρέψαι προαιρούμενος, ἦν ποτε ὅτ' ἐν ἀκοσμήτοις ἦν ὁ Θεός». Περαιτέρω δείκνυνται καὶ ἄλλα ἄτοπα ἐπακολουθήματα τῆς ἀρχῆς ταύτης. Ἔπειτα λέγει: « Οὐκοῦν εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, γέγονε δὲ κόσμος πρὸς τοῦ Θεοῦ, ἐν δὲ τῷ κόσμῳ αἱ ποιότητες· τῶν ποιοτήτων γέγονε ποιητὴς ὁ Θεός . . . Ἐπεὶ δέ σου καὶ λέγοντος πρόσθεν ἤκουον,

ὡς ἀδύνατον ἐξ οὐκ ὄντων γίνεσθαί τι, πρὸς ἐρώτησιν ἀπόκριναι τὴν ἐμήν· δοκεῖ σοι τὰς τοῦ κόσμου ποιότητας μὴ ἐξ ὑποκειμένων ποιοτήτων γεγονέναι ; . . . Οὐκοῦν εἰ μήτε ἐξ ὑποκειμένων ποιοτήτων τὰς ποιότητας ἐδημιούργησεν ὁ Θεός, μήτε ἐκ τῶν οὐσιῶν ὑπάρχουσι, τῷ μηδὲ οὐσίας αὐτὰς εἶναι· ἐκ μὴ ὄντων αὐτὰς ὑπὸ Θεοῦ γεγονέναι ἀνάγκη εἰπεῖν. Ὅθεν περιττῶς ἐδόκεις μοι λέγειν ἀδύνατον δοξάζειν ἐξ οὐκ ὄντων γεγονέναι τι πρὸς τοῦ Θεοῦ. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ὧδε ἐχέτω. Καὶ γὰρ παρ' ἡμῖν ὁρῶμεν ἀνθρώπους ἐξ οὐκ ὄντων ποιοῦντάς τινα, εἰ καὶ τὰ μάλιστα δοκοῦσιν οὗτοι ποιεῖν ἔν τινι. Οἷον ἐπὶ τῶν ἀρχιτεκτόνων τὸ παράδειγμα λάβωμεν. Καὶ γὰρ οὗτοι ποιοῦσι πόλεις οὐκ ἐκ πόλεων, καὶ ναοὺς ὁμοίως οὐκ ἐκ ναῶν » (1).

Ὅτι τὸ κακὸν οὐ δύναται εἶναι αἰώνιον καὶ ἀδημιούργητον, ἐξάγεται ἐξ αὐτῆς τῆς περὶ αὐτοῦ ἐννοίας. Τοῦτό ἐστι ποιότης ἢ ἐνέργεια τῆς οὐσίας. π. χ. ὁ φόνος ἐστὶν ἐνέργεια τοῦ φονέως, ἀλλ' οὐκ αὐτὸς ὁ φονεύς. Εἷς καὶ ὁ αὐτὸς σίδηρος φαίνεται καλός, ἢ κακός, κατὰ τὴν γενομένην αὐτοῦ χρῆσιν (2).

Ἡ περὶ ἐλευθερίας διδασκαλία ἐστὶ τὸ σπουδαιότατον μέρος τοῦ συγγράμματος. « Εἰ γὰρ (ὁ ἄνθρωπος), λέγει ὁ Μεθόδιος, ὡς ἕν τι γέγονε τῶν στοιχείων, ἢ τῶν ὁμοίων δουλευόντων Θεῷ, οὐκ ἔτι μισθὸν ἄξιον τῆς προαιρέσεως λαμβάνει· ἀλλ' ὥσπερ ὄργανον ἂν ἦν τοῦ Δημιουργοῦ τὴν ἐφ' οἷς οὐ καλῶς ἔπραξεν, ἀλόγως μέμψιν ὑπομένων· τούτων γὰρ αἴτιος ἦν ὁ χρώμενος. Ἀλλ' οὐδὲ τὸ κρεῖττον ἄνθρωπος ἠπίστατο, μὴ τὸν αἴτιον εἰδώς, ἀλλ' ἐκεῖνο μόνον εἰς ὃ πέφυκεν εἶναι. Φημὶ τοιγαροῦν τὸν Θεὸν οὕτω τὸν ἄνθρωπον τιμῆσαι προαιρούμενον, καὶ τῶν κρειττόνων ἐπιστήμονα γίνεσθαι, τὴν ἐξουσίαν αὐτῷ τοῦ δύνασθαι ποιεῖν, ἃ βούλεται, δεδωκέναι· καὶ τὴν ἐξουσίαν αὐτοῦ εἰς κρεῖττον παραινεῖν, οὐκ ἀφαιρούμενον πάλιν τὸν αὐτεξούσιον, ἀλλὰ τὸν κρεῖττον μηνύειν θέλοντα. Τὸ μὲν γὰρ δύνασθαι πάρεστιν αὐτῷ· καὶ τὴν ἐντολὴν λαμβάνει· τὴν δὲ τοῦ δύνασθαι προαίρεσιν εἰς τὸ κρεῖττον τρέπειν ὁ Θεὸς παραινεῖ. Ὥσπερ

(1) Ap. Combefic. pag. 347—361.
(2) Combefic. pag. 361—364.

γὰρ πατὴρ παιδὶ παραινεῖ ἐξουσίαν ἔχοντι ἐκμανθάνειν τὰ μαθήματα, καὶ μᾶλλον ἔχεσθαι τῶν μαθημάτων, ὅτι, κρεῖττον τοῦτο μηνύων, οὐ τὴν τοῦ δύνασθαι τοῦ παιδὸς ἐξουσίαν ἀφαιρεῖ, κἂν μὴ ἑκὼν μανθάνειν βούληται· οὕτω μοι καὶ τὸν Θεὸν οὐ δοκεῖ, προτρέποντα τὸν ἄνθρωπον πείθεσθαι τοῖς προστάγμασιν, ἀφαιρεῖν αὐτὸν τὴν ἐξουσίαν τῆς προαιρέσεως τοῦ δύνασθαι, καὶ μὴ ὑπακούειν τοῖς πράγμασι. Καὶ γὰρ τὴν ἀρχὴν τοῦ οὕτω παραινεῖν, ὅτι μὴ ἀφεῖλε τὴν ἐξουσίαν, μηνύει. Προστάττει δέ, ἵνα τῶν κρειττόνων ἄνθρωπος ἀπολαύειν δυνηθῇ. Τοῦτο γὰρ ἕπεται τῷ πεισθῆναι τῷ τοῦ Θεοῦ προστάγματι. Ὥστε οὐχ ἵνα τὴν ἐξουσίαν, ἣν δέδωκεν, ἀφέλῃ, προστάττειν βούλεται· ἀλλ' ἵνα κρεῖττον δωρήσηται, ὡς ἀξίῳ μειζόνων τυχεῖν, ἀνθ' ὧν ὑπήκουσε τῷ Θεῷ, καὶ τὴν τοῦ μὴ ὑπακούειν ἐξουσίαν ἔχων. Φημὶ ἄνθρωπον γεγονέναι (αὐτεξούσιον), οὐχ ὡς προϋποκειμένου τινὸς ἤδη κακοῦ, οὗ τὴν ἐξουσίαν τοῦ ἑλέσθαι, εἰ βούλοιτο, ὁ ἄνθρωπος ἔλαβε . . . ἀλλὰ τὴν τοῦ ὑπακούειν τῷ Θεῷ καὶ μὴ ὑπακούειν αἰτίαν μόνην. Τοῦτο γὰρ τὸ αὐτεξούσιον ἠβούλετο. Καὶ γενόμενος ὁ ἄνθρωπος, ἐντολὴν λαμβάνει παρὰ τοῦ Θεοῦ· καὶ ἐντεῦθεν ἤδη τὸ κακὸν ἄρχεται· οὐ γὰρ πείθεται τῷ Θείῳ προστάγματι· καὶ τοῦτο καὶ μόνον τὸ κακόν, ἡ παρακοή, ἥτις τοῦ εἶναι ἤρξατο. Οὐδὲ γὰρ ἀγένητον ταύτην τις εἰπεῖν ἔχει, τοῦ ποιήσαντος αὐτὴν ὄντος γενητοῦ » (¹).

Παραδεχόμενος ὁ ἅγιος Μεθόδιος, ὅτι τὸ δυνατὸν τοῦ κακοῦ ἔνεστι τῇ ἐλευθερίᾳ τοῦ ἀνθρώπου, λέγει, ὅτι τὸ κακὸν ἐξετελέσθη τῇ συμβουλίᾳ τοῦ δημιουργηθέντος πονηροῦ πνεύματος. Πρὸς δὲ λύει τὸ ζήτημα: « ἐν τῇ ἐντολῇ τῇ δοθείσῃ τῷ Ἀδὰμ ὑπὸ τοῦ Θεοῦ οὐ παρεχωρήθη τῷ Διαβόλῳ τὸ δυνατὸν τοῦ ἀπολέσαι τὸν ἄνθρωπον; Οὐ δυνάμεθα κατακρίνειν τὸν ἰατρόν, ὅστις ἔδειξε τὰ μέσα πρὸς ὑποστήριξιν τῆς ζωῆς, κἂν μυστική τις κακία μετέβαλε ταῦτα πρὸς βλάβην τοῦ ἀνθρώπου. Εἰ ὁ Θεὸς ἐγίνωσκεν, ὅτι ὁ Διάβολος γενήσεται κακός, διὰ τί ἐποίησεν αὐτόν, ἢ οὐκ ἠφάνισεν, ὅτε ἠπάτησε τὸν ἄνθρωπον; Ὁ Θεός, παντοδύναμος ὤν, ἠδύνατο καταστρέψαι τὸν Διάβολον, ἀλλ' εἴασεν αὐτόν, ὅπως οἱ ἄνθρωποι διὰ

(¹) Combefic. pag. 365—370.

τῆς πρὸς τὸ κακὸν μάχης ταπεινῶσι τὸν τοῦ κακοῦ αἴτιον καὶ δοξάζωσι τὸν Δημιουργὸν τοῦ κόσμου. Διὰ τί ἐδημιουργήθη ὁ κόσμος; Οὐ δυνάμεθα γινώσκειν τὰς βουλὰς τοῦ ὁμοίου ἡμῖν ἀνθρώπου,—πολλῷ μᾶλλον τὰ μυστήρια τοῦ Θεοῦ. Ἀλλὰ δυνάμεθα γιγνώσκειν τι καὶ περὶ τοῦ σκοποῦ τῆς δημιουργίας τοῦ κόσμου. Διὰ ταύτης ἐδήλωσεν ὁ Θεὸς τὴν δόξαν Αὐτοῦ, καὶ ὁ ἄνθρωπος ἀπολαύει τῆς θεωρίας ταύτης τῆς δόξης. Ὁ ἄνθρωπος τοίνυν ὀφείλει εἶναι κήρυξ τῆς τοῦ Θεοῦ δόξης» (1).

Τὸ γνωστὸν ἐν τῇ σλαβικῇ μεταφράσει σύγγραμμα τοῦ ἁγίου Μεθοδίου περὶ βίου καὶ πράξεως τοῦ λογικοῦ—ἀποτελεῖ τὴν συνέχειαν καὶ τὸ τέλος τοῦ περὶ τοῦ αὐτεξουσίου πονήματος. Ἐν αὐτῷ λύεται τὸ ζήτημα περὶ τῆς ἀνισότητος τῆς τύχης τῶν ἀνθρώπων. Πρὸς ἔλεγχον τῶν μὴ εὐχαριστουμένων τῇ ἑαυτῶν τύχῃ λέγει ὁ ἅγιος Μεθόδιος, ὅτι οὐ φρόνιμον μεμψιμοιρεῖν ἐπὶ τῇ ἐλλείψει τῶν ἐπιγείων ἀγαθῶν. Ὁ ἄνθρωπος ὀφείλει εἶναι ἀνώτερος παντὸς ἐπιγείου. Ὁ Θεὸς ἐδημιούργησεν αὐτόν, ἵνα ἐνεργῇ, καὶ οὐχ ἵνα ἀπολαύῃ τῶν ἡδονῶν τῶν ἐξασθενιζουσῶν τὴν ψυχὴν καὶ τὸ σῶμα. Ἡ τελεία ἰσότης ἀδύνατος, ἡ ποικιλία—ἰδιότης τοῦ τελείου, ἡ πτωχεία ἐπιτρέπεται, ἢ ὡς τιμωρία ἐπὶ ἁμαρτίαις, ἢ ὡς προφύλαξις ἀπ' αὐτῶν. Ἐν τῷ τέλει ὁ ἅγιος Μεθόδιος παραινεῖ τοὺς πλουσίους βοηθεῖν τοῖς πτωχοῖς (2).

Τὸ δογματικὸν ἅμα καὶ πολεμικὸν σύγγραμμα περὶ ἀναστάσεως ἐν τῇ ἑλληνικῇ νῦν γνωστὸν κυρίως ἐκ τῶν ἐκλογῶν τοῦ Ἐπιφανίου καὶ τοῦ Φωτίου (3), ὃς καὶ ἀνακεφαλαίωσιν τοῦ περιεχομένου αὐτοῦ ἐποιήσατο, πλῆρες δὲ σωζόμενον ἐν τῇ ἀρχαίᾳ σλαβικῇ μεταφράσει, ἐστὶ σύγγραμμα ὀγκῶδες, ἐκ τριῶν λόγων συγκείμενον,—ἔνθα ἐρίζουσι περὶ τοῦ ἀντικειμένου τούτου ἀφ' ἑνὸς μὲν ὁ Μεθόδιος

(1) Σλαβ. χειρόγρ. σελ. 30—44.

(2) Σλαβ. χειρόγρ. σελ. 45—52.

(3) Ἐπιφάν. αἱρ. 64. Τ. Α'. σελ. 534—590. Δαμασκ. λόγ. Γ'. περὶ εἰκόν. Τόμ. Α'. σελ. 389. Φώτ. ἀνάγν. σλδ'. παρὰ τῷ Δαμασκηνῷ ἐστιν ἐκλογὴ ἐκ τοῦ β' λόγου περὶ ἀναστάσεως, ἀλλ' οὐκ ἀκριβής. Ὁ Μάϊος ἐξέδωκεν ἔτι τὰς ἐκλογὰς τοῦ Ἀναστασίου (Collect vet. Auct. t. VII. pag. 32. 102—104. Romæ 1833).

καὶ ὁ Αὐξέντιος, ἀφ᾽ ἑτέρου δὲ ὁ Πρόκλος καὶ ὁ Ἀγλαοφῶν: — ἐν τῇ συστάσει τοῦ ἀνθρώπου, κατὰ τὸ σχέδιον τοῦ Δημιουργοῦ, τὸ σῶμα οὐκ ἔστι δεσμωτήριον τῆς ψυχῆς, ὡς τοὐναντίον ἐδόξαζεν ὁ Ὠριγένης, ἀλλ᾽ οὐσιῶδες μέρος. Κατὰ τὸ σχέδιον τοῦ Δημιουργοῦ τὸ σῶμα ἐπλάσθη ἀθάνατον—καὶ ὁ θάνατος ἐφανερώθη συνεπείᾳ τῆς ἁμαρτίας. Ὁ θάνατος ἐπιτρέπεται ἀφ᾽ ἑνὸς μέν, ἵνα διὰ τῆς διαλύσεως τῆς σωματικῆς συστάσεως ἐξαλειφθῇ τέλεον ἡ ἐν τῷ σώματι ἁμαρτία, ἡ ἄλλως ζῶσα μέχρι τοῦ τάφου καὶ ἐν τῷ ἀρίστῳ χριστιανῷ, ἀφ᾽ ἑτέρου δέ, ἵνα διὰ τῆς μεταμορφώσεως τῆς διεφθαρμένης συστάσεως θεραπεύσῃ τὰ ἐν αὐτῇ τραύματα τῆς ἁμαρτίας. Οὕτω τὸ πρῶτον σῶμα μεταμορφωθήσεται μόνον, οὐδαμῶς δ᾽ ἀφανισθήσεται, ὅπερ ἦν ἂν ἄντικρυς ἐναντίον τῇ περὶ Θεοῦ καὶ ἀνθρώπου ἐννοίᾳ. Τοιαύτη τις μεταβολὴ γενήσεται καὶ ἐν παντὶ τῷ κόσμῳ, ὃς οὐκ ἀφανισθήσεται ἐν τῷ τέλει τῶν αἰώνων, ἀλλὰ μεταμορφωθήσεται. Ἐν τῇ ἐκθέσει τοίνυν τῆς τοῦ Μεθοδίου διδασκαλίας περὶ ἀναστάσεως περιλαμβάνεται καὶ ἡ περὶ τῆς κληρονομικῆς ἁμαρτίας διδασκαλία. Ἰδοὺ τί γράφει περὶ τούτου: «Ζῶντος γὰρ ἔτι τοῦ σώματος, πρὸ τοῦ τεθνήξασθαι, συζῆν ἀνάγκη καὶ τὴν ἁμαρτίαν, ἔνδον τὰς ῥίζας αὐτῆς ἐν ἡμῖν ἀποκρύπτουσαν, εἰ καὶ ἔξωθεν τομαῖς ταῖς ἀπὸ τῶν σωφρονισμῶν καὶ τῶν νουθετήσεων ἀνεστέλλετο. Ἐπεὶ οὖν οὐκ ἂν μετὰ τὸ φωτισθῆναι συνέβαινεν ἀδικεῖν, ἅτε παντάπασιν εἰλικρινῶς ἀφῃρημένης ἀφ᾽ ἡμῶν τῆς ἁμαρτίας. Νῦν δὲ καὶ μετὰ τὸ πιστεῦσαι, καὶ ἐπὶ τὸ ὕδωρ ἐλθεῖν τοῦ ἁγιασμοῦ, πολλάκις ἐν ἁμαρτίαις ὄντες εὑρισκόμεθα. Οὐδεὶς γὰρ οὕτως ἁμαρτίας ἐκτὸς εἶναι καυχήσεται, ὡς μηδὲ κἂν ἐνθυμηθῆναι τὸ σύνολον ὅλως τὴν ἀδικίαν. Ὥστε συμβέβηκε συστέλλεσθαι μὲν καὶ κατευνάζεσθαι τῇ πίστει νῦν τὴν ἁμαρτίαν, εἰς τὸ μὴ φῦσαι καρποὺς βλαβοποιούς, οὐ μὴν ἀνασπασθῆναι καὶ τῶν ῥιζῶν ἄχρις. Νῦν μὲν ἐνταῦθα τὰς βλάστας αὐτῆς, οἷον τὰς ἐνθυμήσεις τὰς πονηράς, συστέλλομεν, μή τις ῥίζα πικρίας ἀναφύουσα ἐνοχλήσῃ, μὴ ἐῶντες ἀναμύειν καὶ διοίγνυσθαι τὰ μεμυκότα στόμια πρὸς τὰς ἐκφύσεις· τοῦ λόγου δίκην ἀξίνης πρὸς τὰς ῥίζας αὐτῆς τὰς κάτω φυομένας

τέμνοντος. Τότε καὶ τὸ ὅλως ἐνθυμηθήσεσθαι περὶ κακίας ἀφανισθήσεται» (¹).

Ὁ Σωκράτης γράφει: «Μεθόδιος μὲν οὖν πολλὰ καταδραμὼν τοῦ Ὠριγένους, ὕστερον ὡς ἐκ παλινῳδίας θαυμάζει τὸν ἄνδρα ἐν τῷ διαλόγῳ, ὃν ἐπέγραψε Ξ ε ν ῶ ν α» (²). Ἐπειδὴ διὰ τῶν λόγων τούτων ὁ Σωκράτης οὐ λέγει, ὅτι ὁ ἅγιος Μεθόδιος παρεδέξατο τέλος τὰς ὑποθέσεις τοῦ Ὠριγένους, παρ' Ὠριγένει δέ εἰσι πολλά, ἐπαινετέα καὶ ἐν αὐτῇ ἔτι τῇ τῆς δογματικῆς αὐτοῦ διδασκαλίας ἐκθέσει, διὰ τοῦτο εἰς μάτην ὁ Βαρώνιος ἀπέρριψε τὴν γνώμην τοῦ Σωκράτους. Ἀλλ' ἡ συγγραφὴ Ξ ε ν ὼ ν οὐκ ἀφίκετο δυστυχῶς μέχρις ἡμῶν.

§ 76. *Συμπόσιον τῶν δέκα παρθένων· ἀμφίβολα συγγράμματα καὶ ὑποβολιμαῖον.*

γ'] Ἐκ τῶν τοῦ ἁγ. Μεθοδίου ἠθικῶν συγγραμμάτων ἦν γνωστὸς τῷ Θεοδωρήτῳ ὁ λόγος αὐτοῦ π ε ρ ὶ μ α ρ τ ύ ρ ω ν. «Οὕτω γὰρ θαυμαστὸν καὶ περισπούδαστόν ἐστι τὸ μαρτύριον λέγει ἐνταῦθα ὁ Μεθόδιος, ὅτι αὐτὸς ὁ Κύριος Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, τιμῶν αὐτό, ἐμαρτύρησεν, ο ὐ χ ἁ ρ π α γ μ ὸ ν ἡ γ η σ ά μ ε ν ο ς τ ὸ ε ἶ ν α ι ἴ σ α Θ ε ῷ, ἵνα καὶ τούτῳ τὸν ἄνθρωπον τῷ χαρίσματι εἰς ὃν κατέβη, σέψῃ» (³). Περὶ τοῦ λόγου τούτου οὐδὲν τὴν σήμερον ἔχομεν γνωστόν.

Τ ὸ σ υ μ π ό σ ι ο ν τ ῶ ν δ έ κ α π α ρ θ έ ν ω ν μετὰ τῆς περὶ παρθενίας κρίσεως ἀφίκετο μέχρις ἡμῶν ἀκέραιον. Ὁ ἀρχαῖος διδάσκαλος λέγει, ὅτι τῇ συστάσει τῆς παρθενίας οὐκ ἀναιρεῖται ὁ ὑπὸ τοῦ Θεοῦ συσταθεὶς γάμος· οὐχ ἧττον δὲ ἡ παρθενία ἐστὶν ὑψηλοτέρα τοῦ γάμου (Λόγ. Α. Β'.). Ἡ σχέσις τῆς παρθενίας καὶ τοῦ γάμου πρὸς τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ καὶ τὴν Ἐκκλησίαν δείκνυσι τὴν ἀξίαν ἀμφοτέρων [*] (Λόγ. Γ'.). Ἡ παρθενία ἡγίασται τῷ βίῳ

(¹) Παρὰ Γαλλανδ. Τ. 3. σελ. 773.

(²) Ἐκκλησ. ἱστορ. ς'. 13.

(³) Θεοδώρ. Διάλ. Α. Ἄτρεπτος.

[*] Ἰδοὺ οἱ περὶ τούτου λόγοι τοῦ Θείου Πατρός: «... Ὅθεν ὁ Ἀπόστολος εὐθυβόλως εἰς Χριστὸν ἀνηκόντισε τὰ κατὰ τὸν Ἀδάμ. Οὕτω γὰρ ἂν μάλιστα ἐκ τῶν ὀστῶν αὐτοῦ καὶ τῆς σαρκὸς τὴν Ἐκκλησίαν συμφωνήσει γεγονέναι· ἧς δὴ χάριν, καταλείψας τὸν Πατέρα τὸν ἐν τοῖς Οὐρανοῖς, κατῆλθεν ὁ Λόγος προσκολληθησόμενος τῇ γυναικί· καὶ ὕπνωσε τὴν ἔκ-

τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἐν ᾧ χρόνῳ ὁ γάμος ἐπιτρέπεται ὑπὸ τοῦ Ἀποστόλου — ὡς μέσον τοῦ καταπραΰνειν τὴν σάρκα, — ἡ παρθενία ἐστὶν ἡ κατάστασις τοῦ πρώτου ἀνθρώπου, ἡ ἀνύψωσις παντὸς

στασιν τοῦ πάθους, ἑκουσίως ὑπὲρ αὐτῆς ἀποθανών· *ὅπως αὐτὸς ἑαυτῷ παραστήσῃ τὴν Ἐκκλησίαν ἔνδοξον καὶ ἄμωμον, καθαρίσας τῷ λουτρῷ*, πρὸς ὑποδοχὴν τοῦ νοητοῦ καὶ μακαρίου σπέρματος, ὃ σπείρει μὲν αὐτὸς ὑπηχῶν καὶ καταφυτεύων ἐν τῷ βάθει τοῦ νοός· ὑποδέχεται δὲ καὶ μορφοῖ δίκην γυναικὸς ἡ Ἐκκλησία εἰς τὸ γεννᾶν τὴν ἀρετὴν καὶ ἐκτρέφειν. Ταύτῃ γὰρ καὶ τό: *αὐξάνεσθε καὶ πληθύνεσθε*, πληροῦται προσηκόντως, εἰς μέγεθος καὶ κάλλος καὶ πλῆθος καθ' ἡμέραν αὐξανομένης αὐτῆς διὰ τὴν σύνερξιν καὶ κοινωνίαν τοῦ Λόγου, συγκαταβαίνοντος ἡμῖν ἔτι καὶ νῦν, καὶ ἐξισταμένου κατὰ τὴν ἀνάμνησιν τοῦ πάθους... Οὐ γὰρ ἂν ἄλλως ἡ Ἐκκλησία συλλαβεῖν τοὺς πιστεύοντας καὶ ἀναγεννῆσαι διὰ λουτροῦ τῆς παλιγγενεσίας δύναιτο, ἐὰν μὴ καὶ διὰ τούτους ὁ Χριστὸς κενώσας ἑαυτόν, ἵνα χωρηθῇ κατὰ τὴν ἀνακεφαλαίωσιν, ὡς ἔφην, τοῦ πάθους, πάλιν ἀποθάνει καταβὰς ἐξ Οὐρανῶν, καί, προσκολληθεὶς τῇ ἑαυτοῦ γυναικὶ τῇ Ἐκκλησίᾳ, παράσχοι τῆς πλευρᾶς ἀφαιρεῖσθαι τῆς ἑαυτοῦ δύναμίν τινα, ὅπως αὐξηθῶσιν οἱ ἐν αὐτῷ οἰκοδομηθέντες ἅπαντες, οἱ γεγεννημένοι διὰ τοῦ λουτροῦ, ἐκ τῶν ὀστῶν καὶ ἐκ τῆς σαρκός, τουτέστιν ἐκ τῆς ἁγιωσύνης αὐτοῦ καὶ ἐκ τῆς δόξης προσειληφότες» (βιβλ. γ'. κεφ. 8). Ἐν τῷ ὀγδόῳ λόγῳ § 5. περιγράφει ἐξαιρέτως δι' εἰκόνων τὸν κόσμον τῆς Ἐκκλησίας, λέγων: «Ἡ ὀφθεῖσα περιβεβλημένη τὸν Ἥλιον ἐν τῷ οὐρανῷ γυνή, καὶ στέφανον ἐκ τῶν ἀστέρων περικειμένη δώδεκα, ἧς τὴν ἕδραν εἶχεν ἡ σελήνη πρὸς τοῖς ποσί, καὶ ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν, αὐτὴ κυρίως ἐστί, κατὰ τὸν ἀκριβῆ λόγον, ἡ μήτηρ ἡμῶν, ὦ Παρθένοι, δύναμίς τις οὖσα καθ' ἑαυτὴν ἑτέρα τῶν τέκνων· ἣν ὁτὲ μὲν Ἱερουσαλὴμ οἱ προφῆται, κατὰ τὴν σύνοψιν τῶν ἐπιφερομένων, ὁτὲ δὲ Νύμφην, ὁτὲ δὲ Σιὼν ὄρος, ὁτὲ δὲ Ναὸν καὶ Σκηνὴν Θεοῦ κεκλήκασιν. Ἡ γὰρ παρωρμημένη φωτίζεσθαι δύναμις ἐν τῷ Προφήτῃ, «*Φωτίζου*, κεκραγότος αὐτῇ τοῦ Πνεύματος, *Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ Σὲ ἀνατέταλκεν*. . . . . » (Ἡσ. V. 1-4), ἐστιν ἡ Ἐκκλησία, ἧς τὰ τέκνα πασσυδεὶ ἥξει μετὰ τὴν ἀνάστασιν, πάντοθεν πρὸς αὐτὴν καταθέοντα, αὐτῇ· δεχομένη τε τὸ φῶς τὸ ἀνέσπερον, τὴν λαμπρότητα στολῆς σχήματι περιβεβλημένη τοῦ Λόγου ἥδεται. Ποίῳ γὰρ ἄλλῳ τιμαλφεστέρῳ κόσμῳ, ἢ τιμιωτέρῳ τὴν βασίλισσαν ἔπρεπε κοσμηθεῖσαν νυμφαγωγηθῆναι τῷ Κυρίῳ, φῶς, ὡς ἱμάτιον λαβοῦσαν;...»

τοῦ ἀνθρωπίνου ὀργανισμοῦ εἰς τὸν βαθμὸν τῆς πνευματικῆς ζωῆς, ὁ ἐπὶ τὴν ὑλικὴν ζωὴν θρίαμβος καὶ τὸ κάλλιστον τῷ Κυρίῳ δῶρον (Λόγ. Δ΄.—Η΄.). Οἱ τελευταῖοι δύο λόγοι δεικνύουσι τὰ πρὸς τήρησιν τῆς παρθενικῆς ἀγνείας μέσα. Ταῦτα δέ εἰσιν ἡ ἀνάγνωσις τῆς ἁγίας Γραφῆς, ἡ ἐγκράτεια, ἡ ταπεινοφροσύνη, ἡ φιλοπονία, καὶ τὸ ἐν ἐρήμῳ διάγειν (Λόγ. Θ΄.—Ι΄.).

Τὸ σύγγραμμα τοῦτό ἐστιν ἀπομίμημα τοῦ συμποσίου τοῦ Πλάτωνος, ἀλλ᾽ ἔχει διάφορον ὑπόθεσιν. Τὸ συμπόσιον τῶν παρθένων τοῦ Μεθοδίου ἄρχεται ἀπαραλλάκτως, ὡς τὸ τοῦ Πλάτωνος. Ἐνταῦθα ὁ Ἀπολλόδωρος λέγει, ὅτι, κατὰ τὴν διήγησιν τοῦ Ἀριστοδήμου, ἐγένετο παρὰ τῷ Σωκράτει συμπόσιον. Ἐν δὲ τῷ τοῦ Μεθοδίου ὁ Γρηγόριος διηγεῖται τῇ Εὐβουλίῳ καὶ ταῖς φίλαις τὰ κατὰ τὴν διήγησιν τῆς Θεοπάτρας συμβάντα ἐν τῷ συμποσίῳ τῶν παρθένων.

Ἐν τῷ συγγράμματι τούτῳ ἐκκέχυται ἅπασα ἡ χάρις καὶ ἡ μεγαλοπρέπεια τῆς ἑλληνικῆς γλώσσης· ἡ φαντασία καὶ ἡ εὐγλωττία ἁμιλλῶνται πρὸς ἀλλήλας, ὅπως περιβάλωσι τὰς ὑψηλὰς ἐννοίας ἐπάξια κοσμήματα. Κατὰ τοῦτο ἡ τέχνη ἐπέτυχε πληρέστατα. Ἀλλὰ τὸ πλῆθος τῶν περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ἀντικειμένου διαλεγομένων παρθένων ἐστὶ πλημμέλημα. Κατὰ τὰ ἔθιμα τῆς χριστιανικῆς Εὐρώπης αἱ παρθένοι οὐ διαλέγονται μετὰ τῆς προσηκούσης κοσμιότητος περὶ τοῦ γαμικοῦ συνδέσμου. Ἀλλ᾽ οἵ τε λαοὶ καὶ οἱ αἰῶνες ἔχουσι τὰ ἑαυτῶν ἔθιμα καὶ τὴν ἑαυτῶν γεῦσιν.

δ΄] Κατὰ τὸν Ἱερώνυμον, ὁ ἱερὸς Μεθόδιος ἔγραψε καὶ ἑρμηνείας εἴς τινα βιβλία τῆς θείας Γραφῆς, οἷον εἰς τὴν Γένεσιν καὶ εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων. Ἐκ δὲ τῶν περισωθέντων νῦν συγγραμμάτων τοῦ εἴδους τούτου δυνάμεθα εἰκάσαι, ὅτι ἔγραψε σημειώσεις μόνον εἴς τινα χωρία τῶν βιβλίων τῆς Γενέσεως, τοῦ

Καὶ ἐν τῷ β΄. λόγῳ § 7 λέγει: . . . «ἀνθηροτάτῳ γὰρ καὶ ποικιλωτάτῳ λειμῶνι ἀπεικάζεσθαι λόγος ἔχει προφητικὸς τὴν Ἐκκλησίαν, οὐ μόνον τοῖς τῆς ἁγνείας πεποικιλμένην καὶ κατεστεμμένην ἄνθεσιν, ἀλλὰ καὶ τοῖς τῆς τεκνογονίας καὶ τῆς ἐγκρατείας. *Ἐν κροσσωτοῖς γὰρ χρυσοῖς πεποικιλμένη ἀπὸ δεξιῶν ἡ βασίλισσα παρίσταται τοῦ* Νυμφίου ». Σ. Μ.

Λευϊτικοῦ καὶ ἄλλων. Οὕτω πρὸς λύσιν τοῦ ζητήματος: πῶς ἦν δυνατόν, ἵνα περιλάβῃ ἡ κιβωτὸς τοσαῦτα ζῶα, ἀπεκρίνατο, ὅτι ὁ Μωϋσῆς, ὁ τὴν αἰγυπτιακὴν σοφίαν ἐκπαιδευθείς, μετρεῖ τὴν κιβωτὸν κατὰ τὸν αἰγυπτιακὸν πῆχυν. Κατὰ παράκλησιν τῆς τῷ Κυρίῳ πιστῆς Κιλώνης ἔγραψε περὶ διαφορᾶς ἐδεσμάτων καὶ δαμάλεως. Ἑρμηνεύων τὸ ιθ΄. κεφάλαιον τοῦ βιβλίου τῶν Ἀριθμῶν, ἐδίδαξεν, ὅτι αἱ τελετουργικαὶ διατάξεις περὶ τῆς διαφορᾶς τῶν εἰδῶν τῆς τροφῆς κατελύθησαν (¹). Αἱ ὑπὸ τοῦ Φωτίου περισωθεῖσαι ἐκλογαὶ τῆς κρίσεως περὶ τῶν γεννητῶν, κατὰ πᾶσαν πιθανότητα, συνιστᾶσι μέρος τῶν σημειώσεων αὐτοῦ εἰς τὸ βιβλίον τῆς Γενέσεως. Ἐνταῦθα ἐξανίσταται κατὰ τῆς ἑρμηνείας τοῦ Ὠριγένους εἰς τό: μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί· μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, καὶ γράφει, ὅτι ὑπὸ τοὺς μαργαρίτας οὐκ ἐννοοῦνται τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, ἀλλ' αἱ ἀρεταί. Ἄλλως, λέγει, ἀπρεπὲς ἂν ἦν κηρύττειν τὸν Θεῖον λόγον. Ἀλλ' ὁ Φώτιος ὀρθῶς ἐσημείωσεν, ὅτι ὁ Ὠριγένης οὐκ εἶπεν, ὅτι οὐ δεῖ παντάπασι ποιεῖσθαι λόγον περὶ τῶν μυστηρίων τῆς πίστεως, ἀλλ' ἔδειξεν, ὅτι, κατὰ τὴν ἔννοιαν τῶν λόγων τοῦ Σωτῆρος, οὐ δεῖ λέγειν περὶ αὐτῶν ἔμπροσθεν ἀνθρώπων τινῶν. Παράδοξον, ὅτι ὁ Μεθόδιος, ὁ τοσοῦτον ἀσχοληθεὶς περὶ τὴν ἑρμηνείαν τῶν ἐν τῷ Ὠριγένει παραδόξων μερῶν, οὐ μόνον οὐδὲν λέγει κατὰ τοῦ πάθους αὐτοῦ πρὸς τὴν ἀλληγορίαν, ἀλλὰ καὶ αὐτὸς πάνυ συνεχῶς ἐποιεῖτο χρῆσιν αὐτῆς. Δῆλον, ὅτι ἕκαστος χρόνος ἔχει τὰς ἑαυτοῦ ἀπάτας. Τοιοῦτος ὁ ἐπὶ γῆς βίος! Ὡς πρότυπον πιστῆς ἑρμηνείας τῶν λόγων τῆς ἁγίας Γραφῆς δυνάμεθα δεῖξαι τὴν παρὰ τῷ ἁγίῳ Μεθοδίῳ ἑρμηνείαν τοῦ: «Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε». «Παρατηρητέον γάρ, λέγει, ὅτι τὸ μὲν Υἱὸν αὐτοῦ εἶναι ἀορίστως ἀπεφήνατο καὶ ἀχρόνως. Εἶ γὰρ αὐτῷ ἔφη, καὶ οὐ Γέγονας ἐμφαίνων μήτε πρόσφατον αὐτὸν τετυχέναι τῆς υἱοθεσίας, μήτε αὖ προϋπάρξαντα, μετὰ ταῦτα τέλος ἐσχηκέναι· ἀλλὰ προγεννηθέντα, καὶ ἔσεσθαι καὶ εἶναι τὸν αὐτόν. Τὸ δέ, ἐγὼ σήμερον γεγέννηκά σε, ὅτι Πρόντα ἤδη πρὸ τῶν

(¹) Ἴδ. σημ. 15.

αἰώνων ἐν τοῖς οὐρανοῖς, ἐβουλήθην καὶ τῷ κόσμῳ γεννῆσαι· ὃ δή ἐστι, πρόσθεν ἀγνοούμενον γνωρίσαι» (1).

Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Μεθοδίου εἰσὶ νῦν γνωσταὶ τρεῖς ὁμιλίαι εἰς τὸν Συμεῶνα καὶ εἰς τὴν Ἄννην, εἰς τὰ Βάϊα, εἰς τὸν Σταυρὸν καὶ τὸ πάθος τοῦ Χριστοῦ(2). Ἀλλὰ λίαν ἀμφίβολον, εἰ εἰσιν ἔργον τοῦ ἁγίου Μεθοδίου, ἱεράρχου τοῦ γ'. αἰῶνος, α'] ἡ λέξις αὐτῶν ὀλίγον ὁμοιάζει πρὸς τὴν τῶν συγγραμμάτων τοῦ Μεθοδίου ἐπισκόπου Τύρου καί ἐστιν ἡ αὐτὴ τῇ τῶν συγγραμμάτων τοῦ ἁγίου Μεθοδίου, Πατριάρχου Κωνσταντινουπόλεως, ἀκμάσαντος κατὰ τὸν ἔννατον αἰῶνα· β'] τὸ περιεχόμενον αὐτῶν ἐπ' ἴσης οὐ συμφωνεῖ ταῖς περιστάσεσι τοῦ τρίτου αἰῶνος. Ἐν τῇ πρώτῃ αὐτῶν συνεχῶς λέγεται ὁ Λόγος ὁμοούσιος τῷ Πατρὶ καὶ ἡ Παρθένος Μαρία Θεοτόκος, ᾗ ἀποδίδοται δημοσίᾳ ἑορτή. Ἐν τῇ

(1) Συμπόσιον τῶν δέκα παρθέν. Λόγ. η. § 9. [Ἀλλαχοῦ ἐπ' ἴσης τοῦ αὐτοῦ Υἱοῦ τὸ ὁμοούσιον τῷ Πατρὶ διδάσκων, λέγει: «. . . τὴν μὲν γὰρ ἀρχήν, ἀφ' ἧς ἀνεβλάστησεν ὁ ὀρθότατος Λόγος, τὸν Πατέρα καὶ Ποιητὴν τῶν ὅλων φατέον, ἐν ᾧ ἦν· τὸ δὲ *οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν*, τὸ ἐξουσιαστικὸν τοῦ Λόγου, ὃ εἶχε παρὰ τῷ Πατρὶ καὶ πρὸ τοῦ τὸν κόσμον εἰς γένεσιν παρελθεῖν, ἔοικε σημαίνειν, τὴν ἐξουσίαν ἀρχὴν εἰπών. Οὐκοῦν ἀρχὴ μετὰ τὴν ἰδίαν ἄναρχον ἀρχήν, τὸν Πατέρα, αὐτὸς τῶν ἄλλων γίνεται, δι' ἧς ἅπαντα δημιουργεῖται» (περὶ τῶν γεννητῶν § 8). Οὗτος οὖν ὁ Χριστός, ὁ ἀληθὴς Θεός, ἐν τῷ πληρώματι τοῦ χρόνου ἐνανθρωπήσας καὶ ἀληθὴς ἄνθρωπος ἐγένετο. «Ταύτῃ γάρ, λέγει, ᾑρετίσατο τὴν ἀνθρωπίνην ἐνδύσασθαι σάρκα Θεὸς ὤν, ὅπως ὥσπερ ἐν πίνακι θεῖον ἐκτύπωμα βίου βλέποντες, ἔχωμεν καὶ ἡμεῖς τὸν γράψαντα μιμεῖσθαι» (Συμπ. Λόγ. Α. § 4). Καὶ πάλιν ἀλλαχοῦ: «Φέρε ἡμεῖς ἐπισκεψώμεθα, πῶς ὀρθοδόξως ἀνήγαγε τὸν Ἀδὰμ εἰς τὸν Χριστόν, οὐ μόνον τύπον αὐτὸν ἡγούμενος εἶναι καὶ εἰκόνα, ἀλλὰ καὶ αὐτὸ τοῦτο Χριστὸν καὶ αὐτὸν γεγονέναι, διὰ τὸ τὸν πρὸ αἰώνων εἰς αὐτὸν ἐγκατασκῆψαι Λόγον. Ἥρμοζε γὰρ τὸ πρωτόγονον τοῦ Θεοῦ καὶ πρῶτον βλάστημα καὶ μονογενές, τὴν Σοφίαν, τῷ πρωτοπλάστῳ καὶ πρώτῳ καὶ πρωτογόνῳ τῶν ἀνθρώπων ἀνθρώπῳ κερασθεῖσαν ἐνηνθρωπηκέναι. Τοῦτο γὰρ εἶναι τὸν Χριστόν, ἄνθρωπον ἀκράτῳ Θεότητι καὶ τελείᾳ πεπληρωμένον, καὶ Θεὸν ἐν ἀνθρώπῳ κεχωρημένον» (Συμπ. λόγ. Γ'. § 4.) Σ. Μ.].

(2) Ἐξεδόθ. ὑπὸ Κομβεφισίου καὶ Γαλλανδίου (σημ. 15).

δευτέρᾳ ἐκτὸς τῆς περὶ Τριάδος ὡρισμένης διδασκαλίας λέγεται: ἑορταὶ ἑορτὰς διαδέχονται ἐν τῇ Ἐκκλησίᾳ, ὅπερ ἦν ἀδύνατον ἐν τῷ καιρῷ τῶν διωγμῶν. Ἐν τῇ τρίτῃ ἀναγινώσκομεν: «Ἐντεῦθεν οἱ τῇδε βασιλεῖς, πάσης πονηρᾶς ἕξεως ἐπὶ σκεδασμῷ, τὸ σταυροειδὲς παραλαμβάνεσθαι αἰσθόμενοι σχῆμα, τὰ καλούμενα τῇ ρωμαϊκῇ διαλέκτῳ βήξιλλα ἐμηχανήσαντο κ.λ.π.». Τοῦτο ἠδύνατό τις εἰπεῖν μόνον μετὰ τοὺς χρόνους τοῦ ἁγίου Κωνσταντίνου. Ὁ συγγραφεὺς τῆς πρώτης ὁμιλίας λέγει, ὅτι διὰ βραχέων ποιεῖται λόγον περὶ παρθενίας ἐν συμποσίοις· ἀλλ' ὁ Τύρου ἐπίσκοπος ἅγιος Μεθόδιος οὐ διὰ βραχέων ἐποιήσατο περὶ παρθενίας λόγον, ἀλλὰ κατ' ἔκτασιν καὶ οὐκ ἐν συμποσίοις. Ἡ λέξις συμπόσια δηλοῖ ἐν τῇ πρώτῃ ὁμιλίᾳ ἁπλῶς λόγους, ὁμιλίας.

Οὐδεμία ἀμφιβολία, ὅτι αἱ Ἀποκαλύψεις τοῦ ἁγίου Μεθοδίου τοῦ Πατάρων ἐπισκόπου περὶ τῶν ἐσχάτων καιρῶν [1], ὧν ἐμνημόνευσε καὶ ὁ ὅσιος Νέστωρ [2] οὐκ ἀνήκουσιν εἰς τὸν ἅγιον Μεθόδιον τοῦ τρίτου αἰῶνος. Ἐνταῦθα γίγνεται λόγος περὶ Βυζαντίου καὶ κατακτήσεων τῶν Σαρακηνῶν.

§ 77. *Ὁ ἅγιος Πέτρος ὁ Ἀλεξανδρείας.*

Πέτρος ὁ Ἀλεξανδρείας ἦν, ὡς λέγει ὁ Εὐσέβιος [3], θεῖον ἐπισκόπων χρῆμα, βίου τε καὶ ἀρετῆς ἕνεκα καὶ τῆς τῶν ἱερῶν λόγων συνασκήσεως. Ἀπὸ τοῦ 295 ἦν προεστηκὼς τοῦ ἐν Ἀλεξανδρείᾳ διδασκαλείου [4]. Δεξάμενος τὴν ποιμαντικὴν ῥάβδον μετὰ τὸν ἅγιον Θεωνᾶν [5] τῷ 303, ἐκυβέρνα τὴν Ἐκκλησίαν ἐν χαλεποῖς χρόνοις, ὅτε ἐξερράγη ἐν Αἰγύπτῳ μετ' ἰδιαζούσης σκληρότητος ὁ διωγμὸς τοῦ Διοκλητιανοῦ. Ἀποχωρήσας ἐξ Ἀλεξανδρείας κατὰ τὴν θύελλαν, ἐνίσχυεν εἰς τοὺς ἀγῶνας καὶ πόρρω-

---

[1] Ἐξεδόθ. ἑλλην. καὶ λατιν. in Bibl. Patr. Colon. 1618. Tom. 15 Paris. 1654. T. 15 lat. Lugdun. T. 3. 1677. ἑλλην. καὶ λατιν. inter Orthoxographa, Basil. 1555. 1669.

[2] Καραμσὶν. 2. σημ. 64.

[3] Ἐκκλ. ἱστορ. Θ, 6.

[4] Φιλιπ. Σιδίτ. Χριστιαν. ἱστορ. apud Dodvellum in dissertat. ad Irenæum.

[5] Εὐσέβ. η'. 13.

θεν οὐ μόνον τὸ ἑαυτοῦ ποίμνιον, ἀλλὰ καὶ ἁπάσης τῆς Αἰγύπτου τοὺς πιστοὺς—τῆς Θηβαΐδος καὶ Λιβύης (¹). Διὰ τῶν παραινέσεων αὐτοῦ πλεῖστοι ὅσοι ἐστέφθησαν τῷ μαρτυρικῷ στεφάνῳ. Ἡ ἀσθένειά τινων, μὴ καρτερησάντων ἐντοῖς ἀνυποίστοις βασάνοις, ἠνάγκασε τὸν ζηλωτὴν ἐπίσκοπον τῷ 306 ἐκδοῦναι κανόνας τινας μετανοίας (²). Κατὰ τὸν αὐτὸν δὲ χρόνον νέαν καὶ δεινὴν θλίψιν τῇ Ἐκκλησίᾳ καὶ τῷ Ποιμένι αὐτῆς ἐπήνεγκεν ὁ Λυκουπόλεως τῆς Λιβύης ἐπίσκοπος Μελέτιος. Τοῦ ἁγίου Πέτρου μετὰ χριστιανικῆς ἀγάπης δεχομένου τοὺς εἰλικρινῶς μετανοοῦντας εἰς τὴν τῆς Ἐκκλησίας κοινωνίαν, ὁ Μελέτιος, παραπεσὼν εἰς πολλὰ φανερὰ ἁμαρτήματα, ἐξεδίωκε μετὰ σκληροκαρδίας πάντας τοὺς ἐκπεπτωκότας, καὶ ἀφικόμενος εἰς Ἀλεξάνδρειαν, ὡς ποιμὴν αὐτῆς διετίθη αὐθαιρέτως τὰς ὑποθέσεις τῆς οὐκ ἀνηκούσης εἰς αὐτὸν Ἐκκλησίας. Αἱ γενόμεναι αὐτῷ παραινέσεις ἔμειναν ἀτελεσφόρητοι. Ὁ ἅγιος Πέτρος ἠναγκάσθη μετὰ συνόδου ἐπισκόπων καταδικάσαι αὐτόν· ὁ δὲ Μελέτιος ἐγένετο παραίτιος σχίσματος, ὑπὲρ μίαν ἑκατονταετηρίδα σπαράξαντος τὴν Ἐκκλησίαν (³). Ὁ Ἄρειος ἦν ὁ πρῶτος τῶν προσκολληθέντων τῷ Μελετίῳ, ἔπειτα δὲ μεταμεληθεὶς προὐχειρίσθη διάκονος. Μετὰ δὲ ταῦτα ἠγέρθη αὖθις κατὰ τοῦ Ποιμένος αὐτοῦ,

(¹) Εὐσέβ. η΄. 13. Περὶ τῆς ἐξ Ἀλεξανδρείας ἀποχωρήσεως αὐτοῦ ποιεῖται λόγον ὁ Σωκράτης, ὡς καὶ οἱ σύγχρονοι ἐπίσκοποι ἐν τῇ ἐπιστολῇ πρὸς Μελέτιον τὸν Λυκουπόλεως Routhii Reliquiæ S. 3. 382.

(²) Κανὼν ά. « Ἐπεὶ τοίνυν τέταρτον ἤδη Πάσχα ἐπικατείληφε τὸν διωγμόν, αὐτάρκως ἔχει... » Ὁ Ἀθανάσιος ἐν τῇ συνόψει αὐτοῦ λέγει, ὅτι *παρῆλθον ἤδη τέσσαρα ἔτη τοῦ διωγμοῦ*, οὐκ ὀρθῶς. Ὁ ἅγ. Πέτρος διὰ τῶν λόγων τούτων, δείκνυσιν, ὅτι ὁ διωγμός, ἀρξάμενος ἀπὸ τοῦ Πάσχα, οὐ κατέληξεν εἰς τὸ τέταρτον Πάσχα· ὁ δεινότατος ἁπάντων τῶν διωγμῶν ἦν ὁ τοῦ Διοκλητιανοῦ, ὃς ἤρξατο γενικῶς τῷ 303. Τῷ 298 ἐξεδόθη διάταγμα μόνον κατὰ τῶν Χριστιανῶν στρατιωτῶν.

(³) Ἀθανάσ. ἀπολογ. κατὰ Ἀρειαν. § 3. Σωκρ. ἐκκλ. ἱστορ. ά. ϛ΄. Ἐπιφάν αἱρ. 68. ἴδ. Walchs Ketzerhistorie th. 4. s. 335. Περὶ τῆς καθαιρέσεως τοῦ Μελετίου γράφει αὐτὸς ὁ ἅγιος Πέτρος ἐν τῇ περὶ Μελετίου ἐπιστολῇ παρὰ Ρουθίῳ Reliquiæ S. 3, 343, ὡς καὶ περὶ τῶν πράξεων αὐτοῦ 3, 348, 381—383.

ἐφ' ᾧ ἐξεβλήθη ὑπ' αὐτοῦ τῆς Ἐκκλησίας (1). Τῷ 311 ὁ μέγας τῆς τοῦ Χριστοῦ πίστεως διδάσκαλος συνελήφθη αἴφνης καὶ ἄνευ τινὸς κρίσεως ἀπετμήθη τὴν κεφαλὴν (2).

Οἱ κανόνες τοῦ ἁγίου Πέτρου ἐγένοντο δεκτοὶ ἀπὸ τῶν ἀρχαίων χρόνων ἐν τῷ συντάγματι τῶν κανόνων τῆς οἰκουμενικῆς Ἐκκλησίας (3). Οἱ κανόνες οὗτοί εἰσι πλήρεις χριστιανικῆς ἀγάπης,

---

(1) Σωζόμ. Ἐκκλ. ἱστορ. α, 15.

(2) Εὐσέβ. Ἐκκλ. ἱστορ. Θ, 6. Τὰ δύο πρακτικὰ τοῦ μαρτυρίου τοῦ ἁγίου Πέτρου, ὧν τὸ μὲν ἐξεδόθη ὑπὸ τοῦ Σουρίου, τὸ δὲ ὑπὸ τοῦ Κομβεφισίου (Triamph. martyr. pag. 189.) οὐκ εἰσὶ λίαν ἀξιόπιστα, ἅτε ἀντιφάσκοντα πρὸς ἄλληλα καὶ διαφωνοῦντα πρὸς τὸν Εὐσέβιον καὶ τὸν Θεοδώρητον. Πολλῷ ἀξιοπιστότερά ἐστι τὰ περισωθέντα ἐν τῇ μεταφράσει Ἀναστασίου τοῦ βιβλιοθηκαρίου, καὶ ἐκδοθέντα ὑπὸ τοῦ Μαΐου (Spicileg. Roman. tom. III. pag. 671. Romæ 1840).

(3) Ὅρ. τὸν β'. καν. τῆς ἐν Τρούλλῳ συνόδ. ἐν τῷ βιβλ. τῶν κανόν. 1833, σελ. 383 παρὰ Φωτίῳ, Ζωναρᾷ καὶ Βαλσαμῶνι. Παρὰ τῷ Συλλογεῖ τῶν καν. τοῦ ζ'. αἰῶνος ἀναγινώσκομεν: « Πέτρου Ἀρχιεπ. Ἀλεξ. καὶ μάρτ. ἐκ τοῦ λόγ. περὶ μεταν. 14 καν. , τοῦ αὐτοῦ ἐκ τοῦ λόγ. εἰς τὸ Πάσχα εἷς κανών». —Ἐν τοιαύτῃ δὲ μορφῇ οἱ κανόνες οὗτοι φέρονται ἐν τοῖς ἀντιγράφοις τῶν καν. ἄνευ τῶν ἑρμηνειῶν τοῦ Ζωναρᾶ καὶ Βαλσαμῶνος εἰς τοὺς καν. ἐν τῷ Φλωρεντιν. παρὰ Βανδίνῃ καταλ. σελ. 73. ἐν τῷ βιενν. κώδ. 44, παρὰ Λαμβεζ. comm. vind· 8, 876. ed. Kollar. —Εἰς μάτην ὁ Βινάζιος ἐξάγει ἐκ τούτου τὴν ἑαυτοῦ ἀμφιβολίαν περὶ τῆς γνησιότητος τῶν κανόνων. Τοὐναντίον δὲ ἡ τοιαύτη μορφὴ τῶν κανόνων ἰδίως διὰ τὴν ἀρχαιότητα καὶ τὴν ὁμοιότητα αὐτῆς κατὰ τὰ ἀντίγραφα,—μαρτυρεῖ τὴν γνησιότητα αὐτῶν. Ἐν τῇ εἰσαγωγῇ τοῦ συγγράμματος εἰς κανονικὴν χρῆσιν ἐγένετο ἡ διαίρεσις αὐτοῦ εἰς κανόνας. Αὐτὸ τοῦτο συνέβη καὶ εἰς τὰς ἐπιστολὰς τοῦ Βασιλείου πρὸς Ἀμφιλόχιον. Ὁ Ρενώδοτος (Renaudot. Histor. Patriarch. Alexandr. pag. 61.) γράφει, ὅτι ἡ Συριακὴ μετάφρασις τῶν κανόνων τοῦ ἁγίου Πέτρου κατ' ἀρχαῖον παρισιανὸν ἀντίγραφον τῶν κανόνων (τοῦ δεκάτου αἰῶνος) περιελάμβανε μεταξὺ τοῦ ιγ'. καὶ ιδ'. καν. βραχεῖαν παραίνεσιν πρὸς μετάνοιαν, ἢ οὐχ εὕρηται ἐν τῷ ἑλλην. κειμένῳ. Οἱ κανονισταὶ παρέλιπον τὴν βραχεῖαν ταύτην παραίνεσιν βεβαίως, διότι οὐ περιεῖχεν ἰδίως κανόνα. Ἡ Συριακὴ μετάφρασις ἀποδείκνυσι τὸ γνήσιον τῶν κανόνων, εἰ καὶ ἐξ αὐτῆς καταφαίνεται, ὅτι ἐν τῷ ἑλλην. κει-

καὶ ἐρείδονται ἐπὶ ῥήσεων τῆς ἁγίας Γραφῆς. Ὁ ἅγιος Πέτρος ἐσπούδαζε πρὸ πάντων ἐπιστρέψαι ἅπαντας εἰς τοὺς κόλπους τῆς Ἐκκλησίας. Διαιρεῖ τοὺς πεπτωκότας εἰς τάξεις, διδοὺς προσοχὴν εἰς τὰ περιστατικὰ τῆς πτώσεως· προσκαλεῖ ἅπαντας εἰς μετάνοιαν, καὶ ἐν τῷ δ΄. κανόνι ἓν μόνον ἔγκλημα κηρύττει ἀσυγχώρητον — τὸ ἀμετανόητον. Τὸ βάρος τῆς πτώσεως προσδιορίζει ἐκ τοῦ εἴδους καὶ τῆς παρατάσεως τῶν βασάνων, ἃς ὑπέστησαν οἱ παραπεπτωκότες μέχρι τῆς πτώσεως, καὶ ἐκ τῆς ταχύτητος τῆς εἰς τὴν Ἐκκλησίαν ἐπιστροφῆς αὐτῶν. Συνῳδὰ τούτῳ ὁρίζει καὶ διάφορα ἐπιτίμια.

Ὁ ιέ. κανὼν ἐλήφθη ἐκ τοῦ εἰς τὸ Πάσχα λόγου (1), καὶ πιθανῶς ἐξ ἐκείνου, οὗ σημαντικὸν μέρος διετηρήθη ἐν τῷ πασχαλίῳ χρονικῷ· ἐν τῷ περὶ τοῦ Πάσχα συγγράμματι δείκνυσι ὁ ἀρ-

---

μένῳ ἐλλείπει μέρος τοῦ συγγράμματος οὐ σημαντικόν. Ὁ Μολκεμβρούνιος (dissert. de antiquis canonibus poenit., Monaster. 1791) φέρει ὡς ἀπόδειξιν τῆς μὴ γνησιότητος τῶν κανόνων, ὅτι ἐν τῷ ιγ΄. καν. γίγνεται λόγος περὶ τοῦ φόνου Ζαχαρίου τοῦ πατρὸς Ἰωάννου τοῦ Προδρόμου ὑπὸ τοῦ Ἡρώδου, καὶ περὶ τῆς ἀποχωρήσεως τῆς Ἐλισάβετ μετὰ τοῦ Προδρόμου εἰς ἀπόκρυφον τόπον, καὶ ὅτι ὁ Ἡρώδης ἐνταῦθα καλεῖται βασιλεὺς τῶν Ἀσσυρίων. Ἀλλ᾽ ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἀλεξανδρ. ἀληθῶς ὑπῆρχεν ἡ παράδοσις αὕτη περὶ τοῦ Ζαχαρίου καὶ τοῦ Προδρόμου. Αὕτη ἦν γνωστὴ τῷ Ὠριγένει (ὑπόμν. εἰς Ματθ. τόμ. 16. 54.). Ταύτην παρεδέχετο καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (περὶ ἀνθρωπομορφ.). Τῷ Ἱερωνύμῳ ἐπ᾽ ἴσης ἦν γνωστόν, ὅτι ἐπίστευόν τινες ταύτῃ τῇ παραδόσει, εἰ καί, ὡς λέγει (lib. 4 Comment. in caput 23 Math.) ἐστηρίζετο ἐπὶ ἀποκρύφου βιβλίου. Ὁ δὲ Ἡρώδης ἠδύνατο καλεῖσθαι βασιλεὺς τῶν Ἀσσυρίων εἰρωνικῶς, εἰ καὶ οἱ ἀρχαῖοι ἐκάλουν ἐσθ᾽ ὅτε τὴν Συρίαν Ἀσσυρίαν.

(1) Οὕτω καλεῖται ἐν ἅπασι τοῖς ἀπογράφοις. Ἴδ. Fabric. Bibl. Gr. T. 9. p. 317 ed. Harles. Ὡσαύτως παρὰ Ρουθίῳ (Reliquiæ s. 3. 366). Παρὰ τῷ Ζωναρᾷ καὶ τῷ Βαλσαμῶνι —ἄνευ ἐπιγραφῆς. Παρὰ τῷ τελευταίῳ παρελείφθησαν λέξεις τινὲς καὶ ἐν τῷ κειμένῳ τοῦ κανόνος. Ὁ Λαμβέζιος συνεπλήρωσε τὴν παράλειψιν ταύτην ἐκ τοῦ βιενναίου ἀπογράφου (Comm. Vindob. 8, 877), ὁ δὲ Γαρδουΐνος ἐκ τοῦ Παρισ. (Mons à collect. concil. 1, 1283), ἐν ᾧ παρὰ τῷ Βεουερηγίῳ (Pandecta 2, 23) ἐστὶν ἑτέρα οὐ κατὰ πάντα ἀξιόπιστος ἀνάγνωσις. πρβλ. Fapr. B. Gr. 9, 316.

χαῖος διδάσκαλος τῆς Ἐκκλησίας, ὅτι ὁ Σωτὴρ ἐν τῷ τελευταίῳ Πάσχᾳ τοῦ ἐπιγείου Αὐτοῦ βίου οὐκ ἔφαγε τὸν ἀμνὸν τοῦ Πάσχα καθ' ἣν ἡμέραν ὥριστο ὑπὸ τοῦ νόμου, καὶ ὅτι ἔπαθε κατ' αὐτὴν ἐκείνην τὴν Παρασκευήν, καθ' ἣν νενομοθέτητο τοῖς Ἰουδαίοις τελεῖν τὸ Πάσχα αὐτῶν. Ἐπὶ τούτῳ δὲ παραπέμπει πρὸς τοῖς ἄλλοις καὶ εἰς τὸ ἰδιόχειρον Εὐαγγέλιον τοῦ ἁγίου Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, ὅπερ, ὡς λέγει, μέχρι νῦν πεφύλακται χάριτι τοῦ Θεοῦ ἐν τῇ Ἐφεσίων ἁγιωτάτῃ Ἐκκλησίᾳ, καὶ ὑπὸ τῶν πιστῶν ἐκεῖσε προσκυνεῖται ([1]).

Κατὰ τὰς ἐν Ἐφέσῳ ([2]) καὶ Χαλκηδόνι ([3]) συνόδους ἀνεγνώσθησαν τὰ ἐξαίρετα χωρία ἐκ τοῦ βιβλίου τοῦ ποιμένος τῆς Ἀλεξανδρείας περὶ θεότητος, τὰ πραγματευόμενα περὶ τῆς ἐνσαρκώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ. «Ἐπειδὴ καὶ ἀληθῶς ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο· Ἰω. ά. 17. ὅθεν καὶ χάριτί ἐσμεν σεσωσμένοι, κατὰ τὸ ἀποστολικὸν ῥητόν· καὶ τοῦτο φησίν, οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον· οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. (κεφ. 6΄. 8.) Θελήματι Θεοῦ ὁ Λόγος σὰρξ γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, (Φιλιπ. 6΄. 7.) οὐ κατελείφθη τῆς θεότητος. Οὐδὲ γὰρ ἵνα τῆς δυνάμεως αὐτοῦ ἢ δόξης τέλεον ἀποστῇ, πτωχεύσας πλούσιος ὤν, (ά. Κορ. ή. 9.) τοῦτο ἐγένετο· ἀλλ' ἵνα καὶ τὸν θάνατον ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν ἀναδέξηται, δίκαιος ὑπὲρ ἀδίκων, ὅπως ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, (6΄. Πέτρ. ά. ιη΄.) θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ Πνεύματι. Καὶ μεθ' ἕτερα· «ὅθεν καὶ ὁ Εὐαγγελιστὴς ἀληθεύει, λέγων· ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· (Ἰω. ά. 17.) τότε δὴ τότε, ἀφ' οὗ ὁ Ἄγγελος ἠσπά-

([1]) Chron. Pasch. ed Nieburii,- p. II. Rom. 1832. Ἐν τῷ Χρονικῷ, τὸ σύγγραμμα τοῦ ἁγίου Πέτρου περὶ τοῦ Πάσχα καλεῖται *Λόγος*, ὅς, καθάπερ ἐνταῦθα λέγεται, ἀπεστάλη ἐν εἴδει ἐπιστολῆς πρός τινα Τρικέντιον, σελ. 4. Τὸ τοιοῦτον εἶδος τοῦ συγγράμματος αὐτὸ καθ' ἑαυτὸ μαρτυρεῖ περὶ τῆς γνησιότητος αὐτοῦ, καὶ τὸ αὐτὸ ὑποστηρίζουσι τὰ χειρόγραφα. Ἴδ. Galland. B. P. IV, prolegom., X).

([2]) Act. I. p. 508. VII, p. 845, 876. Concil. Tom. III. ed Lamb. πρβλ. T. IV. pag. 1766.

([3]) A. A. I. p. 286. concil. tom. IV.

σατο τὴν Παρθένον εἰπών: Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. Τὸ γάρ, ὁ Κύριος μετὰ σοῦ, νῦν ἔστιν ἀκοῦσαι τοῦ Γαβριήλ, ἀντὶ τοῦ ὁ Θεὸς Λόγος μετὰ σοῦ. Σημαίνει γὰρ αὐτόν, γενόμενον ἐν μήτρᾳ, καὶ σάρκα γενόμενον, καθὼς γέγραπται. Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ Λουκ. ά. 15.» Καὶ πάλιν μεθ᾽ ἕτερα· «ὁ δὲ Θεὸς Λόγος παρὰ τὴν ἀνδρὸς ἀπουσίαν, κατὰ βούλησιν τοῦ πάντα δυναμένου κατεργάσασθαι Θεοῦ, γέγονεν ἐν μήτρᾳ τῆς Παρθένου σάρξ, μήτε δεηθεὶς τῆς ἀνδρὸς ἐνεργείας ἢ παρουσίας. Ἐνεργέστερον γὰρ τοῦ ἀνδρὸς ἐνεποίησεν ἡ τοῦ Θεοῦ δύναμις, ἐπισκιάσασα τῇ Παρθένῳ σὺν τῷ ἐπεληλυθότι ἁγίῳ Πνεύματι».

Ἔν τινι τῶν συγγραμμάτων αὐτοῦ ὁ ἅγιος Πέτρος ἐξέφρασε τὸ ὡραῖον τῆς συντριβῆς αἴσθημα ὧδε: «Τάλας ἐγώ, οὐδὲ ἐμνήσθην, ὅτι ὁ Θεὸς νοῦν ἐπιτηρεῖ καὶ ψυχῆς ἀκούει φωνήν· συνέγνων εἰς ἁμαρτίαν, πρὸς ἐμαυτὸν λέγων· ἐλεήμων ἐστὶν ὁ Θεὸς καὶ ἀνέξεταί μου. Καὶ μὴ πληγεὶς παραχρῆμα, οὐκ ἐπαυσάμην, ἀλλὰ μᾶλλον κατεφρόνησα συγγνώμης, καὶ ἐδαπάνησα Θεοῦ μακροθυμίαν (¹).

(¹) Λόγοι *ἐκ τῆς διδασκαλίας* τοῦ ἁγίου Πέτρου ὑπὸ ἀρχαίου συγγραφέως διασωθέντες, Maii Collat. Script. vet. t. VII, p. 96. 98. Τὰ συγγράμματα τοῦ ἁγίου Πέτρου φιλοπόνως συνελέγησαν καὶ ἐξεδόθησαν ἐν τῷ Δ΄. τόμ. τῆς Βιβλ. τοῦ Γαλλανδίου, —ὑπὸ Ρουθίου in Reliquiis Sacris T. III. pag. 321. Παρὰ τῷ τελευταίῳ μετ᾽ ἐξαιρέτων σημειώσεων, καὶ κατ᾽ ἐξοχὴν α) *οἱ κανόνες*· β) χωρία ἐκ τοῦ *περὶ θεότητος* βιβλίου· γ) ἐκ τοῦ συγγράμματος *περὶ τῆς ἐπιδημίας τοῦ Χριστοῦ*· δ) *ἐκ τοῦ μὴ προϋπάρχειν τὴν ψυχὴν τοῦ σώματος*· δ) ἡ ἐπιστολὴ *περὶ Μελετίου*. Μετὰ τὸν Γαλλάνδιον καὶ τὸν Ρούθιον ὁ Μάϊος ἐξέδωκε προσέτι α) τεμάχιον τοῦ συγγράμματος *περὶ τοῦ μὴ προϋπάρχειν τὴν ψυχὴν τοῦ σώματος*· β) τοὺς ἀναφερομένους *ἐκ τῆς διδασκαλίας* λόγους· γ) τεμάχιον ἑρμηνείας εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου· δ΄) ἐκ τοῦ λόγου (ἢ βιβλίου) *περὶ θεολογίας* (Collect. Script. Vet. tom. VII. p. 85. 96. 306. 307.

ΠΑΡΑΡΤΗΜΑ.

§ 78. *Τερτυλλιανός· βίος αὐτοῦ.*

Σεπτίμιος, Φλῶρος, Τερτυλλιανὸς ἦν υἱὸς ἑκατοντάρχου, ὑπηρετοῦντος παρὰ τῷ ἀνθυπάτῳ τῆς Καρχηδόνος (1), καὶ μέχρι τῆς εἰς Χριστὸν ἐπιστροφῆς ἐθνικός (2). Πεπροικισμένος ἐξόχοις πνευματικοῖς χαρίσμασιν ἔλαβε παρὰ τῶν γονέων αὐτοῦ ἐξαίρετον ἐπιστημονικὴν ἐκπαίδευσιν. Περάνας τὰς σπουδὰς αὐτοῦ, ἐγένετο συνήγορος (3), καί, κατὰ τὴν ἰδίαν μαρτυρίαν, διῆγε φαῦλον βίον (4). Ἡ σταθερότης τῶν ἀναιτίως βασανιζομένων χριστιανῶν, ἡ πεῖρα τῆς θαυμαστῆς αὐτῶν δυνάμεως ἐπὶ τῶν δαιμόνων, ἡ ἔννοια περὶ τοῦ δικαστηρίου τῆς Δικαιοσύνης, προὐξένησαν αὐτῷ οὕτως ἰσχυρὰν ἐντύπωσιν, ὥστε ἀπορρίψας τὴν ἐθνικὴν ζωὴν (5), ἤρξατο διάγων αὐστηρότατον βίον. Διὰ δὲ τὰ πνευματικὰ αὐτοῦ χαρίσματα καὶ τὸν βίον ἐτιμήθη τῷ ἀξιώματι τοῦ πρεσβυτέρου, πιθανῶς τῆς Καρχηδόνος (6),

---

(1) Apolog. cap. 9.—De Pallio, c. 2. Hieron. catal. c. 53.

(2) Apalog. c. 18.

(3) Ὁ Εὐσέβιος λέγει περὶ αὐτοῦ, ὅτι ἦν ἀνὴρ «τοὺς Ρωμαίων νόμους ἠκριβωκώς». Ἐκκλ. ἱστορ. β, 2. Ὁ δὲ Τριθέμιος ἀπ' εὐθείας ἀποκαλεῖ αὐτὸν συνήγορον.

(4). De poenit c. IV. « . . . Ergo poenitentia vita est, cum præponitur morti. Cam tu peccator, mei similis (imo me miror, ego enim præstantiam in delictis meam agnosco), ita invade, ita amplexare, ut naufragus alicujus tabulæ fidem. Hæc te peccatorum fluctibus mersum prolevabit et in portum divinæ clementiæ protelabit . . . » c. 12. « . . . Quid ergo ultra de istis duabus humanæ salutis quasi plancis, styli potius negotium, quam officium conscientiæ meæ curans? Peccator enim ommium notarum cum sim, nec ulli rei nisi poenitentiæ natus, non facile possum super illa tacere, quam ipse quoque et stirpis humanæ . . . » De resurrect. carn. C. LIX. « Ego me scio neque alia carne adulteria commisisse, neque dunc alia carne ad continentiam eniti. » de spectac. c. XIX.

(5) Ad Scap. ult. cap. Apologet. C. 23. « ad istam disciplinam metu prædicti ju dicii transvolamus». lib. de anima c. 2.

(6) Hieron de Siriptor. eccles. C. 53. Ἐκ τοῦ ὅτι ὁ Τερτυλλιανὸς ἦν ἐν Ρώμῃ, ὅτε ὁ Πραξέας ἤγει ἐξ

ἔζη μετὰ τῆς συζύγου αὐτοῦ, ὡς ἀναμφιβόλως γνωστὸν μετὰ τὴν εἰς πρεσβύτερον προχείρισιν αὐτοῦ(¹). Ὁ Τερτυλλιανὸς θερμὸς ὢν τὸν χαρακτῆρα, θερμῶς ἠγάπα καὶ τὴν ἀλήθειαν τοῦ Χριστοῦ· ἐνήργει ὑπὲρ αὐτῆς καὶ τῷ βίῳ καὶ τῷ λόγῳ καὶ τοῖς συγγράμμασιν. Ὁ μακάριος Ἱερώνυμος λέγει, ὅτι «ὁ Τερτυλλιανὸς ἐκ τοῦ φθόνου καὶ τῶν ὕβρεων τοῦ ρωμαϊκοῦ κλήρου κατέπεσεν εἰς τὸ δόγμα τοῦ Μοντανοῦ» [*]. Ὁ Ἱερώνυμος ἐγίγνωσκε καλῶς καὶ ἐξ ἰδίας πείρας τὴν Ρώμην. Ὁ ἄσεμνος βίος καὶ αἱ φανεραὶ ἀδικίαι τοῦ ρωμαϊκοῦ κλήρου ἠδύναντο ἔχειν ἰσχυρὰν ἐπιρροὴν ἐπὶ τοῦ θερμοῦ Τερτυλλιανοῦ. Ἀλλ' ἡ οὐκ ὀρθῶς νοηθεῖσα κλίσις τοῦ ἰδίου αὐτοῦ πνεύματος πρὸς τὸν αὐστηρὸν βίον διέθηκεν ἀναμφιβόλως πρὸ παντὸς ἄλλου τὸν Τερτυλλιανὸν ὑπὲρ τοῦ Μοντανοῦ, ὁρίσαντος αὐστηρὰς νηστείας καὶ μακρὰς ἀγρυπνίας. Ὁ μοντανιστὴς Πρόκλος πρῶτος εἵλκυσεν ἐν Ρώμῃ τὸν Τερτυλλιανόν. Τοῦτο συνέβη, κατὰ τὸν Ἱερώνυμον, ὅτε μέχρι τῆς μέσης ἡλικίας (usque ad mediam aetatem) ἔμεινε πρεσβύτερος (²). Ἐν-

ἐκεῖ τὸν πρὸς τοὺς Μοντανιστὰς φθόνον, εἰκάζουσιν, ὅτι ἦν πρεσβύτερος Ρώμης· ἀλλ' ὁ λόγος οὗτός ἐστι λίαν ἀσθενής, καὶ τοσούτῳ μᾶλλον, ὅσον οὐδεὶς τῶν ἀρχαίων καλεῖ πρεσβύτερον Ρώμης, ἐνῷ ὁ Ὄπτατος καλεῖ αὐτὸν Ἄφρον.

(¹) «Quare facultatem continentiæ, quantum possumus, non diligamns? Quum primum obvenerit, impibamus, ut quod in matrimonio non valemus, in viduitate sectemur. Amplectenda occasio est, quæ ademit, quod necessitas imperabat». Οὕτως ἔγραφεν ὁ Τερτυλλιανὸς πρὸς τὴν ἑαυτοῦ σύζυγον, παραινῶν αὐτὴν μὴ ἐλθεῖν εἰς δεύτερον γάμον μετὰ τὸν θάνατον αὐτοῦ (lib. I ad uxor. c. 7), καὶ βεβαίως τότε, ὅτε ἤδη ἦν ἐγγὺς τοῦ γήρως (διαθήκας οὐ γράφουσιν ἐν τῇ νεότητι). Ἐν τῷ συγγράμματι τούτῳ οὔτε ἐν ἄλλοις λέγει, ὅτι ἡ γυνὴ αὐτοῦ ἦν ἐθνική. Ἐντεῦθεν δυνατὸν τεκμήρεσθαι καὶ ὅτι οὐ ταχέως μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ ἔλαβε τὸν βαθμὸν τοῦ πρεσβυτέρου. Τὸ τελευταῖον συμφωνεῖ καὶ τῷ βαθεῖ αὐτοῦ αἰσθήματι τῆς μετανοίας ἐπὶ ταῖς προτέραις ἁμαρτίαις.

(*) De vir. illustr. c. 53. «Hic cum usque ad mediam ætutem presbyter Ecclesiæ permansisset, inuidia postea contumeliis clericorum ecclesiæ romanii ad Montani dogma delapsus est.

(²) Hieron. ibid.

τεῦθεν συμπεραίνεται, ὅτι μέχρι τῆς μέσης ἡλικίας ἦν εἰς κοινωνίαν τῇ Ἐκκλησίᾳ([1]). Περὶ δὲ τὸ διακοσιοστὸν σωτήριον ἔτος ἐγένετο ὀπαδὸς τοῦ Μοντανοῦ ([2]). Ὁ ἱερὸς Αὐγουστῖνος λέγει, ὅτι ἀπεχωρίσθη τελευταῖον τοῦ Μοντανοῦ καὶ συνέστησεν ἰδίαν κοινωνίαν ([3]). Τοῦτο δηλοῖ, ὅτι ἀνεγνώρισε τὸ ἄλογον τοῦ αἱρεσιάρχου τούτου. Ἐν τούτοις οὐδεὶς τῶν ἀρχαίων μαρτυρεῖ, ὅτι μετενόησε καὶ εἰσῆλθε πάλιν εἰς κοινωνίαν μετὰ τῆς Ἐκκλησίας. Κατὰ τὸν Ἱερώνυμον ἐτελεύτησεν ἐν βαθεῖ γήρατι ([4]) περὶ τὸ 211ον ἔτος.

§ 79. *Χαρακτὴρ καὶ πλάναι αὐτοῦ.*

Ὁ Τερτυλλιανὸς ἦν πεπροικισμένος ζωηρῷ αἰσθήματι, θερμῇ

([1]) Ἴδ. σημ. 7.

([2]) Ἐν τῷ κατὰ Πραξέου συγγράμματι γράφει, ὅτι ἀπεσκίρτησε τῆς Ἐκκλησίας, ὅτε ὁ Πραξέας διήγειρεν ἐν Ῥώμῃ τὸν πρὸς τοὺς Μοντανιστὰς φθόνον ὑπομνήσας τὸν ρωμαῖον ἐπίσκοπον τοῦ παραδείγματος τῶν προκατόχων αὐτοῦ. Ἐπειδὴ δὲ ἡ διδασκαλία τοῦ Μοντανοῦ ἤρξατο διαδιδομένη οὐ πρὸ τῶν ρωμαίων ἐπισκόπων Ἀνικήτου καὶ Ἐλευθερίου, ὁ ρωμαῖος ἐπίσκοπος, ὁ τοῦ Πραξέου ἀκροασάμενος, ἦν βεβαίως ὁ Βίκτωρ, ὃς ἐγένετο ἐπίσκοπος ἀπὸ τοῦ 193—201, καὶ ἑπομένως ὁ Τερτυλλιανὸς προσεκολλήθη τῷ Μοντανῷ οὐ βραδύτερον τοῦ 201. Ἐν τῷ συγγράμματι de corona militis (περὶ στεφάνου τοῦ στρατιώτου) γράφει, ὅτι ἐπειδὴ ὁ χριστιανὸς στρατιώτης ἐτόλμησεν ἐμφανισθῆναι οὐκ ἐν στεφάνῳ εἰς τὸ στρατόπεδον τῶν ρωμαίων στρατιωτῶν, οἱ ἐθνικοὶ ἐβασάνισαν αὐτόν· τῶν δὲ χριστιανῶν στρατιωτῶν τινὲς ἔψεξαν τὸν συνάδελφον αὐτῶν ὡς διεγείραντα κατ' αὐτῶν καὶ τῆς Ἐκκλησίας ἄνευ ἀνάγκης τοὺς ἐθνικούς. Διὰ τοῦτο αὐτὸς ὁ Τερτυλλιανὸς ἐγείρεται μετὰ σκληρότητος, μοντανιστῇ προσηκούσης, κατὰ τῶν ἀποδοκιμασάντων τὴν ἄλογον τόλμην τοῦ ὁμολογητοῦ. Ἐπειδὴ δὲ τὸ διάταγμα τοῦ Αὐτοκράτορος Σευήρου, τὸ διεγεῖραν κατὰ τῶν χριστιανῶν διωγμόν, μέχρι τότε κατὰ τόπους μόνον διωκομένων, ἐξεδόθη τῷ 202, καὶ ἔν τισι συγγράμμασιν οὐδὲν καθόλου δείκνυσιν ὅμοιον τῷ μοντανισμῷ, τὸ *περὶ στεφάνου* σύγγραμμα ἀνενεκτέον εἰς τὸ 201, καὶ ἡ τοῦ συγγραφέως ἀποσκίρτησις συνέβη περὶ τὴν ἀρχὴν τοῦ αὐτοῦ ἔτους.

([3]) De hæres. c. 86.

([4]) Hieron., I. c. Fertur vixisse usque ad decrepitam etatem, etc.

φαντασίᾳ, πνεύματι ἱκανῷ εἰσδύειν εἰς τὸ βάθος τῆς ἐννοίας, καὶ πολυμαθέστατος· ἀλλ᾽ ἡ ζωηρὰ φαντασία καὶ αἱ ὁρμαὶ τοῦ φλογεροῦ αἰσθήματος παρέσυραν αὐτὸν πέραν τοῦ μέτρου. Τούτου ἕνεκεν οἱ λόγοι αὐτοῦ διαδέχονται ἀλλήλους ἀποτόμως καὶ ὁρμητικῶς· αἱ ἔννοιαί εἰσι λαμπραὶ καὶ πλούσιαι. Ἀλλ᾽ ἐπειδὴ ἡ ὀξύνοια αὐτοῦ οὐκ ἀείποτέ ἐστι φυσική, αἱ ἔννοιαι οὐκ ἔχουσιν ἀείποτε ἰσχύν, καὶ ἔτι σπανιώτερον σαφήνειαν. Ἡ διαλεκτικὴ αὐτοῦ τέχνη καὶ ἡ τοῦ πνεύματος δύναμις ἐκπλήττουσι μᾶλλον ἢ πείθουσιν· ἀναλύει τὴν ἔννοιαν μετὰ πάσης λεπτολογίας· κατ᾽ ἐξοχὴν δέ, ὅτε ὁμιλεῖ ὡς μοντανιστής, οἱ λόγοι αὐτοῦ εἰσι λίαν δηκτικοὶ καὶ αὐτοὶ οὐ συντελοῦσιν ὑπὲρ τῆς ὑποθέσεως· πολλάκις δὲ καὶ αἱ ἐκφράσεις οὐ συμφωνοῦσι τῷ βάθει τῶν ἐννοιῶν. Ἡ καρχηδόνιος λατινικὴ γλῶσσα, αὐτὴ καθ᾽ ἑαυτὴν μὴ οὖσα καθαρὰ παρὰ τῷ Τερτυλλιανῷ, συνίστησιν ἴδιον ὕφος, ἐν ᾧ ἡ ἔννοια συχνότερον εὑρίσκεται μᾶλλον ἐξ εἰκασίας, ἢ ἐκ τῶν λέξεων (1) (*).

---

(1) Οἱ ἐκδόται προστιθεῖσι τοῖς συγγράμμασιν αὐτοῦ καὶ ἰδιαίτερον λεξικόν.

(*) «Ὁ χαρακτὴρ τοῦ Τερτυλλιανοῦ, λέγει ὁ σοφὸς I.—A. Moehler, ὡς συγγραφέως, ἐστὶ τὰ μάλιστα καταπληκτικός. Ἅπαντα τὰ συγγράμματα αὐτοῦ δηλοῦσι τὴν ἔξοχον εὐφυΐαν, καὶ τὴν πολυμάθειαν αὐτοῦ. Ἡ ἐπιχειρητικὴ καὶ ἡ τῆς ψυχῆς αὐτοῦ ὑπερβάλλουσα δύναμις διεγείρουσι τὸν θαυμασμόν. Ἐν τῇ εἰς τὸ μάχεσθαι ἀείποτε ἑτοίμῃ χειρὶ αὐτοῦ, ὁ λόγος γίγνεται ὅπλον ὀξὺ καὶ ἀήττητον, μάλιστα ὁσάκις ἐπερειδόμενος τῇ Ἐκκλησίᾳ, ποιεῖται χρῆσιν αὐτοῦ ὑπὲρ τῆς ἀληθείας. Πᾶν τὸ ὑπ᾽ αὐτοῦ γραφόμενόν ἐστιν ἐν γένει βαθέως ἐσκεμμένον. Ἀνεξάντλητος ἀφθονία ἐννοιῶν βρύει ἐκ τῆς ζωηρᾶς καὶ θερμῆς αὐτοῦ φαντασίας· ἐστὶ παντελῶς κύριος τῆς γλώσσης· οὐδέποτε φείδεται αὐτῆς, βουλόμενος δοῦναι αὐτῇ τὴν μορφὴν τῶν ἰδίων ἐννοιῶν· χέει μετὰ δαψιλείας τὰς μάλιστα ἀσυνήθεις ἐκφράσεις· ὠθεῖ τὸν ἀναγνώστην ἐνώπιον αὐτοῦ δι᾽ ἀπροσδοκήτων τρόπων· ἀλλὰ μᾶλλον ἐκπλήττει ἢ πείθει. Ἀλλ᾽ ὅμως, ἐφ᾽ ὅσον ἐστὶ καθολικός, δείκνυται πάνυ πρᾶος καὶ ἐᾷ τὴν σύνεσιν ἐπικρατεῖν. Γενόμενος δὲ Μοντανιστής, προΐεται τὸ πνεῦμα καὶ τὴν σάτυραν πρὸς προσβολὴν τῆς ἀληθείας· ἄγεται ὑπὸ τῆς ὁρμῆς τῶν θερμῶν αὐτοῦ αἰσθημάτων· ἡ ἠπιότης αὐτοῦ τέλεον ἠφανίσθη. Ἡ φράσις ὅμως αὐτοῦ ἐστι λακωνικὴ καὶ ἀποφθεγματική· αἱ μεταβάσεις ταχεῖαι καὶ ἀπροσδόκητοι· ἡ δὲ ἔκφρασις οὐδέποτε ἀναλογεῖ πρὸς τὴν

Ὁ Τερτυλλιανὸς ἔσχε θερμὸν ζῆλον πρὸς τὸν βίον καὶ τὴν ἀλήθειαν τοῦ Χριστοῦ καὶ ἐμόχθησεν ἀκαμάτως ὑπὲρ τῆς ἀληθείας· ἦν πρὸς ἑαυτὸν οὐ μόνον αὐστηρός, ἀλλὰ καὶ σκληρός, καὶ ἐπεθύμει ὁρᾶν καὶ τοὺς ἄλλους διάγοντας βίον αὐστηρόν. Ὁ εὐερέθιστος αὐτοῦ χαρακτὴρ ἐξῆγεν αὐτὸν ἔσθ᾽ ὅτε τῆς ὑπομονῆς, ὅπερ καὶ αὐτὸς ὡμολόγει ([1]). Εἰ τοιαύτην ἔχων διάθεσιν πνεύματος καὶ τοιαύτας πνευματικὰς δυνάμεις περιέπιπτεν ἀπάταις, αὗταί εἰσι μόνον ἄξιαι λύπης, ὡς ἀδυναμία, καὶ τοσούτῳ μᾶλλον, καθ᾽ ὅσον αἱ ὑπὲρ τῆς Ἐκκλησίας ὑπηρεσίαι αὐτοῦ εἰσι μεγάλαι.

Οἱ ἀρχαῖοι διδάσκαλοι, λόγον ποιούμενοι περὶ τοῦ Τερτυλλιανοῦ, ἀπεφαίνοντο μετὰ μεγάλων ἐπαίνων περὶ τῆς σοφίας καὶ τῶν πνευματικῶν χαρισμάτων αὐτοῦ, καὶ οὐ σμικρὸν ἐπωφελοῦντο ἐκ τῶν συγγραμμάτων αὐτοῦ. Ὁ ἅγιος Κυπριανὸς ἀνεγίνωσκε καθ᾽ ἑκάστην τὰ βιβλία αὐτοῦ, καί, ὅτε ἐζήτει ταῦτα, ἔλεγε: Δότε μοι τὸν διδάσκαλόν μου [α]. Τὰ συγγράμματα τοῦ Κυπριανοῦ ἐπιβεβαιοῦσι τὸ πρὸς τὸν Τερτυλλιανὸν σέβας αὐτοῦ. Κατὰ τὸν Εὐσέ-

---

ὑπόθεσιν· ἀείποτε σχεδὸν χρῆται ὑπερβολαῖς. Ἀνασκευάζων, ἢ ὑπερασπίζων, ἐπαινῶν ἢ ψέγων, καθίστησιν ἀείποτε γελοῖον τὸν ἴδιον ἀντίπαλον, καθολικὸν ὄντα ἢ αἱρετικόν. Συνῳδὰ τῷ χαρακτῆρι αὐτοῦ χρῆται γλώσσῃ σκοτεινῇ καὶ συνεστραμμένῃ, καίτοι ἀνθηρᾷ καὶ πλήρει εἰκόνων· ἀλλὰ ταῦτά εἰσιν ἄνθη ἀνθοῦντα ἐν τῇ ἐρήμῳ. Ἐπειδὴ ἦν ὁ πρῶτος πατὴρ τῆς Ἐκκλησίας, ὃς ἔγραψε λατινιστί, ἠναγκάσθη δημιουργῆσαι νέαν γλῶσσαν καὶ μορφῶσαι αὐτήν. Οἱ Ἀφρικανοὶ εἶχον ἐν τῇ λατινικῇ ἰδίας φράσεις, καὶ κατὰ τοῦτο ὁ Τερτυλλιανὸς δείκνυται Ἀφρικανὸς πολλῷ πλέον τῶν ἑαυτοῦ συμπολιτῶν· λατινίζει ἑλληνικαῖς λέξεσι· πλάττει λατινικὰς λέξεις πάντῃ νέας, ἢ ἐπανορθοῖ, κατὰ τὸ δοκοῦν, τὰς ἀρχαίας. Τοῦτο δίδωσι τοῖς συγγράμμασιν αὐτοῦ ἀλλόκοτον ὄψιν. Ἀλλ᾽ αὐτὸ τοῦτο καθίστησιν αὐτὰ πλείστου λόγου ἄξια. Οἱ Ἀφρικανοὶ συγγραφεῖς καὶ ἅπαντες οἱ Λατῖνοι ἔσχον αὐτὸν ὡς πρότυπον, ὅπερ ἀποδείκνυσι τὴν μεγάλην ἐπιρροήν, ἣν ἐξήσκησεν ἐπὶ τῆς μορφώσεως τῆς γλώσσης τῆς χριστιανικῆς ρωμαϊκῆς Ἐκκλησίας» (Πατρολ. Τ. 3, σελ. 4 — 5 τῆς γάλλ. μεταφρ.). Σ. Μ.

([1]) De patient. c. I.

[α] Date mihi præceptorem meum (Hieron. de siript. eccles. c. 53).

βιον καὶ τὸν Ρουφῖνον ὁ Τερτυλλιανὸς ἦν ὁ ἐπιφανέστατος τῶν διδασκάλων τῆς λατινικῆς Ἐκκλησίας (1). Ὁ Ἱερώνυμος ὡσαύτως λέγει, ὅτι τήν τε σοφίαν καὶ τὴν ἀγχίνοιαν ἦν ὑπέρτερος τῶν ἄλλων (2), καὶ ἀποκαλεῖ αὐτὸν ἄνδρα ἰσχυροῦ πνεύματος (3), καίπερ ψέγων τὰς ἀπάτας αὐτοῦ (*).

Αἱ πλάναι τοῦ Τερτυλλιανοῦ, ὡς μοντανιστοῦ, συνίσταντο εἰς τοῦτο, ὅτι, εἰ καὶ μὴ ἀνεγνώριζε τὸν Μοντανὸν ὡς Παράκλητον, ἀλλ' ὡς ἐμπνεόμενον ὑπὸ τοῦ Παρακλήτου, ἔλεγεν, ὅτι χριστιανός ἐστι μόνος ὁ δυνάμενος αἰσθανθῆναι ἐν ἑαυτῷ τὴν ἐνέργειαν τοῦ Παρακλήτου Πνεύματος καὶ τυχεῖν τῆς ἐμπνεύσεως· ἄλλως μένει σαρκικὸς ἄνθρωπος. Ἐντεῦθεν προήρχετο ἡ εὐπιστία αὐτοῦ, μεθ' ἧς παρεδέχετο ὡς προφητείας τὰ φαντάσματα καὶ τὰ αἰσθήμα-

(1) Εὐσέβ. Ἐκκλ. ἱστορ. 6, 2.

(2) De sc[r]ipt. eccles. C. LIII. «Vir erat acris et vehementis ingenii, καὶ ἀλλαχοῦ (epist. ad Magn. tom. II. pag. 328) : «Quid Tertulliano eruditius? Quid acutius? ».

(3) Contr. Helvid. Apolog. advers. Rufin.

(*) Οὐϊνκέντιος ὁ Λιριναῖος (Lirinensis) ἐκφέρει τὴν ἑξῆς ἀξιόλογον περὶ τοῦ Τερτυλλιανοῦ κρίσιν: « Sicut ille (Origenes) apud Græcos, ita hic apud Latinos nostrorum omnium facile princeps judicandus est. Quid enim hoc viro doctius? quid in divinis atque humanis rebus exercitatius? Nempe omnem philosophiam, et cunctas philosophorum sectas, auctores, adversatoresque sectarum, omnesque eorum disciplinas, omnem historiarum ac studiorum varietatem mira quadam mentis capacitate complexus est. Ingenio vero nonne tam gravi ac vehementi excelluit, ut nihil sibi pene ad expugnandum proposuerit, quod non aut acumine irruperit, aut pondere eliserit? Jam porro orationis suæ laudes quis exequi valeat? Quae tanta nescio qua rationum necessitate conferta est, ut ad consensum sui, quos suadere non potuerit, impellat; cujus quod pene verba, tot sententiae sunt; quot sensus, tot victoriae. Sciunt haec Marciones, Apelles, Praxeae, Hermogenes, Judaei, Gentiles, Gnostici, caeterique; quorum ille blasphemias multis, ac magnis voluminum suorum molibus, velut quibusdam fulminibus evertit . . . » (Vincent. Lirinens. Commonitor. cap. XVIII). Σ. Μ.

τα τῶν μοντανιστῶν, καὶ ἐπὶ τούτου, ὅπερ παρίστατο μιᾷ τῶν θιασωτίδων τοῦ Μοντανοῦ, ἐστήριζε τὴν πεποίθησιν αὐτοῦ, ὅτι ἡ ψυχὴ δῆθέν ἐστι ψηλαφητόν τι, ἀλλὰ διαφανές, σῶμα. Ἐντεῦθεν δὲ ἐναντίον τοῦ Πνεύματος τῆς τοῦ Χριστοῦ ἀγάπης ἐπιμόνως διϊσχυρίζετο, ὅτι οὐδεῖ συγχωρεῖν τοῖς μετὰ τὸ βάπτισμα εἰς ἁμαρτίαν περιπεσοῦσι, καὶ ὅτι ὁ δεύτερος γάμος ἐστὶν ἁμαρτία. Ἐκ τῶν ἡμαρτημένων τούτων ἰδεῶν, ἅς, γενόμενος μοντανιστής, ἐξέφερε λίαν ἀποτόμως, ῥᾳδίως δύναταί τις διακρίνειν ἐν τοῖς συγγράμμασιν αὐτοῦ τὸ σύμφωνον, ἢ μή, τῇ ἀληθείᾳ, ῥᾳδίως δύναται διακρίνειν αὐτὰ τὰ συγγράμματα, τὰ ὑπ' αὐτοῦ γραφέντα, ὅτε εἰς κοινωνίαν ἦν τῇ Ἐκκλησίᾳ, ἀπὸ τῶν γραφέντων ὑπ' αὐτοῦ, ὅτε ἐφρόνει τὰ τοῦ Μοντανοῦ. Ἐπειδὴ δὲ ἀφ' ἑνὸς μὲν αἱ ἐσφαλμέναι αὐτοῦ δοξασίαι οὐδόλως εἰσὶν ἐπιβλαβεῖς τῇ περὶ ἠθικῆς διδασκαλίᾳ καὶ ὀλίγον ἅπτονται τῆς πίστεως, ἀφ' ἑτέρου δὲ ὁ ζῆλος πρὸς τὴν ἀλήθειαν καὶ τὰ ἔκτακτα πνευματικὰ χαρίσματα συνετέλεσαν εἰς τὴν ὑπ' αὐτοῦ ἐκπόνησιν πλείστων καὶ σπουδαιοτάτων συγγραμμάτων περὶ διαφόρων τῆς χριστιανικῆς διδασκαλίας ὑποθέσεων, διὰ τοῦτο ἅπαντα ταῦτα μετὰ τῆς ὀφειλομένης ἐπιστασίας ἀναγινωσκόμενα, δύνανται εἶναι χρήσιμα καὶ ὠφέλιμα (¹).

(¹) Ὑπὸ τοῦ Τερτυλλιανοῦ ὀρθοδόξου ὄντος συνεγράφησαν:

α΄) Τῷ 196 de oratione (περὶ προσευχῆς), de baptismo (περὶ βαπτίσματος)· β) τῷ 198 de spectaculis (περὶ θεαμάτων)· γ) τῷ 199 Apologeticus (Ἀπολογητικός), ad nationes (πρὸς τὰ ἔθνη), de testimonio animae (περὶ τῆς μαρτυρίας τῆς ψυχῆς), ad Martyres (πρὸς μάρτυρας)· δ) τῷ 200 ad uxorem libri duo (πρὸς τὴν ἑαυτοῦ σύζυγον βιβλία δύο), de praescriptionibus adversus haereticos (περὶ προγραφῶν κατὰ τῶν αἱρετικῶν), de patientia (περὶ ὑπομονῆς). Γενόμενος δὲ μοντανιστὴς συνέγραψε τὰ ἑξῆς συγγράμματα: α) τῷ 201 de habitu mulierum (περὶ τοῦ ἐνδύματος τῶν συζύγων), adversus Praxeam (κατὰ Πραξέου), de poenitentia (περὶ μετανοίας), de exhortatione ad castitatem (περὶ προτροπῆς εἰς τὴν ἁγνείαν), de corona militis (περὶ τοῦ στεφάνου τοῦ στρατιώτου)· β) τῷ 202 de cultu feminarum (περὶ τοῦ κόσμου τῶν γυναικῶν), de fuga in persecutione (περὶ τῆς ἐν διωγμῷ φυγῆς)· γ) τῷ 203 de monogamia (περὶ μονογαμίας), de jejuniis (περὶ νηστειῶν)· τῷ 205 Scorpiace (Σκορπιακή), de anima

§ 80. *Τὰ ἄριστα τῶν συγγραμμάτων αὐτοῦ· ἀπολογητικὰ—ὁ Ἀπολογητικὸς καὶ περὶ τῆς μαρτυρίας τῆς ψυχῆς.*

Τὰ συγγράμματα τοῦ Τερτυλλιανοῦ δύνανται διαιρεθῆναι εἰς τρεῖς τάξεις. Εἰς τὴν πρώτην ἀνάγονται τὰ ἀπολογητικὰ κατὰ τῶν ἐθνικῶν καὶ τῶν Ἰουδαίων, εἰς τὴν δευτέραν τὰ δογματικὰ καὶ πολεμικὰ κατὰ τῶν αἱρετικῶν, εἰς τὴν τρίτην τὰ διαλαμβάνοντα περὶ

(περὶ ψυχῆς), adversus Hermogenem (κατὰ Ἑρμογένους), adversus Valentinianos (κατὰ Οὐαλεντινιανῶν), adversus Judaeos (κατὰ Ἰουδαίων)· ε) τῷ 208 adversus Marcionem (κατὰ Μαρκίωνος), de carne Christi (περὶ τῆς σαρκὸς τοῦ Χριστοῦ), de resurrectione carnis (περὶ ἀναστάσεως τῆς σαρκός), de pallio (περὶ τρίβωνος)· ς) τῷ 201 ad Scapulam (πρὸς Σκαπύλαν). Ἴδ. Nosselt. dissert. de vera aetate ac doctrina scriptorum Tertulliani in ejusdem comm. ad Histor. Eccl. pertin. Halae 1817. [Ὁ συγγραφεὺς οὐ ποιεῖται μνείαν τῶνδε τῶν συγγραμμάτων τοῦ Τερτυλλιανοῦ: de idololatria περὶ εἰδωλολατρείας) συγγραφ. κατὰ Καβέον, καθ' ὃν χρόνον καὶ τὸ de spectaculis· de velandis virginibus (περὶ τοῦ δεῖ τὰς παρθένους καλύπτεσθαι), καὶ de pudicitia (περὶ σωφροσύνης). Ἐκ τῶν συγγραμμάτων αὐτοῦ ἀπωλέσθησαν τάδε: ά] de paradiso (περὶ παραδείσου), οὗ αὐτὸς μνημονεύει ἐν τῷ βιβλίῳ de anima (περὶ ψυχῆς) cap. 55. β΄] de spe fidelium (περὶ τῆς ἐλπίδος τῶν πιστῶν), οὗ μνημονεύει ἐν τῷ γ΄. βιβλ. κατὰ Μαρκίωνος κεφ. 24. σελ. 411. γ΄] de exstasi libri 7 (περὶ ἐκστάσεως βιβλ. 7)· δ΄] adversus Apellecianos· έ] de vestibus Aaronis· ς΄] de censu animæ. Ὑποβολιμαῖα δέ εἰσι τάδε: ά] de trinitate, de cibis judaicis, catalogus haereticorum, de definitionibus fidei et dogmatum ecclesiasticorum. Τῷ Τερτυλλιανῷ ἀποδίδονται καὶ ποιήματα, ἅτινά εἰσιν ἀναντιρρήτως ὑποβολιμαῖα. Εἰσὶ δὲ τάδε: Genesis, Sodoma, lib. V. adv. Marcionem, de judicis Dei, carmen ad Senatorem, de Jona et Ninive. Κατὰ τὸν Παμέλιον τὰ ποιήματα ταῦτα ἐγράφησαν ὑπὸ τοῦ Τερτυλλιανοῦ, νέου ἔτι ὄντος· ἀλλὰ τὴν γνώμην αὐτοῦ ἐπ' οὐδενὸς λόγου, ἐπ' οὐδεμιᾶς τῶν ἀρχαίων μαρτυρίας στηρίζει. Τούτων τὰ δύο πρῶτα ἀποδίδωσιν ὁ περικλεὴς Ἄλιξ τῷ πρεσβυτέρῳ τῆς Μασσαλίας Σαλβιανῷ, ἀποθανόντι περὶ τὸ 484· τὸ δὲ τρίτον ἀποδίδωσιν ὁ αὐτὸς τῷ Βερεκούνδῳ ἐπισκόπῳ τῆς Ἀφρικῆς, ἀκμάσαντι περὶ τὸ μέσον τοῦ ς΄. αἰῶνος. Τῶν ἄλλων ὁ ποιητὴς ἀγνοεῖται.

μερικῶν τῆς ἠθικῆς ὑποθέσεων. Ἐν τοῖς πρώτοις πρώτιστον τάσσεται ὁ Ἀπολογητικὸς αὐτοῦ καὶ ἔπειτα τὸ περὶ τῆς μαρτυρίας τῆς ψυχῆς. Ἐν τοῖς δευτέροις σπουδαιότατά εἰσι τὸ περὶ προγραφῆς κατὰ τῶν αἱρετικῶν, τὰ περὶ βαπτίσματος, κατὰ Πραξέου, καὶ τὰ πέντε βιβλία κατὰ Μαρκίωνος. Ἐν τοῖς τελευταίοις τὰ περὶ μετανοίας, περὶ προσευχῆς, τὰ δύο βιβλία πρὸς τὴν σύζυγον αὐτοῦ καὶ τὸ περὶ θεαμάτων[1].

Ὁ Ἀπολογητικὸς τοῦ Τερτυλλιανοῦ, τῷ 199 συγγραφείς, ἐστιν ἓν τῶν ἀρίστων αὐτοῦ συγγραμμάτων καὶ ἓν τῶν ἀξιολογωτάτων ἐν τῷ εἴδει αὐτοῦ. «Ἐπιτραπήτω, λέγει, ἀποτεινόμενος πρὸς τὸν ἀνθύπατον τῆς Ἀφρικῆς καὶ ἄλλους ἐπαρχιακοὺς διοικητὰς τῆς Αὐτοκρατορίας, ἵνα ἀφίκηται ἡ ἀλήθεια μέχρι τῶν ἀκοῶν ἡμῶν τοὐλάχιστον διὰ τῆς κρυφίας ὁδοῦ τῶν ἀφώνων γραμμάτων. Ἡ ἀλήθεια οὐ ζητεῖ τὴν ὑμετέραν προστασίαν, ἅτε δὴ γινώσκουσα, ὅτι ἐστὶ μὲν παρεπίδημος ἐπὶ τῆς γῆς, ὅτι δ' ἡ γένεσις αὐτῆς, ὁ τόπος, αἱ ἐλπίδες, ἡ προστασία, ἡ ἀξία εἰσὶν ἐν οὐρανῷ . . . Ἀλλ' ὁ νόμος τὰ μάλιστα ἀποβάλλει τὸν πρὸς αὐτὸν σεβασμόν, μὴ ἀκουομένης τῆς ἀληθείας». Ἐφεξῆς ὁ Τερτυλλιανὸς δείκνυσι τὴν ἀπάνθρωπον ἀδικίαν τῶν κριτῶν, καταδικαζόντων τοὺς χριστιανοὺς ἐπὶ μόνῳ τῷ ὀνόματι καὶ τῇ τυφλῇ τῶν ἐθνικῶν κρίσεων ματαιότητι. «Ὁ εἷς λέγει: ὁ Γάϊος Σέϊος ἐστι χρηστὸς ἄνθρωπος, ἀλλὰ χριστιανός. Θαυμάζω, λέγει ἕτερος, ὅτι ὁ σοφὸς Λούκιος αἴφνης ἐγένετο χριστιανός. Οὐδεὶς δὲ συλλογίζεται: ἢ οὐ διὰ τοῦτο ἀγαθὸς ὁ Γάϊος καὶ φρόνιμος ὁ Λούκιος, διότι εἰσὶ χριστιανοί; ἢ διὰ τοῦτο χριστιανοί, διότι εἰσὶ φρόνιμοι καὶ ἀγαθοί;» (§ 1—3). Περαιτέρω ἀποδείκνυσιν ἐκ τῆς

---

[1] Αἱ ἄρισται τῶν ἐκδόσεων εἰσι ά] Tertulliani opera omnia, ed. a Nic. *Rigaltio*, cum notis Rhenani, Pamelii-Paris. 1634. cum Sig. Havercompii comment. in Apologet. Venet. 1744. β'] Opera omnia curis Sal. *Semleri*, cui ed. insunt *Semleri* diss, de varia indole lib. Tertyllian. et Schutzii index latinitatis Tertullian. Hallæ 1770—775. Τῇ ἐκδόσει ταύτῃ ἕπεται ἡ τοῦ Ὀβερθύρου μετ' οὐ πολλῶν ἀναγκαίων σημειώσεων. γ'] Opera omnia ed Gerstorf 1839. Ἡ ἔκδοσις αὕτη ἐστὶν ἡ πασῶν ἀρίστη.

πείρας, ὅτι οὐχ οἱ χριστιανοί, ἀλλ' οἱ ἐθνικοὶ παραβαίνουσι τοὺς δικαίους νόμους (§ 4—6)· ἀνασκευάζει τὰς κατὰ τῶν χριστιανῶν ἐπαγομένας συκοφαντίας (§ 7—9), καὶ ἀποφαινόμενος, ὅτι οἱ θεοὶ τῶν ἐθνικῶν οὐκ εἰσιν ἄξιοι οὔτε λατρείας, οὔτε τοῦ ὀνόματος τῶν θεῶν (§ 10—16), ἐκτίθησι τὴν περὶ Θεοῦ καὶ περὶ τῆς διπλῆς θεογνωσίας ἀληθῆ ἔννοιαν. «Θέλετε, λέγει, ἵνα δείξω ὑμῖν τὴν ὕπαρξιν Αὐτοῦ (τοῦ ἀληθοῦς Θεοῦ) ἐκ τῶν οὕτω πολλῶν, ἐκ τῶν οὕτω μεγάλων Αὐτοῦ ἔργων, τῶν περικυκλούντων ἡμᾶς, τῶν ἐκπληττόντων καὶ πληρούντων εὐσεβείας; ἢ δείξω τὴν περὶ Αὐτοῦ μαρτυρίαν αὐτῆς τῆς ψυχῆς; Εἰ καὶ αὕτη ἐγκέκλεισται τῷ τῆς σαρκὸς δεσμωτηρίῳ, εἰ καὶ δέδεται ψευδέσι διδασκαλίαις καὶ ἐξησθένηται ὑπό τε τῆς σαρκὸς καὶ τῶν παθῶν, ἅμα ὅμως εἰς ἑαυτὴν ἐλθοῦσα, οἱονεὶ ἐγειρομένη ἐκ γοητεύματος, ἐξ ὕπνου, ἐξ ἀσθενείας, καλεῖ τὸν ἑαυτῆς.... Ὢ μαρτυρία τῆς ψυχῆς κατὰ τὴν φύσιν χριστιανικῆς!» Περαιτέρω ἐξηγεῖται, πῶς ὁ Θεὸς ηὐδόκησε δηλῶσαι τὴν θέλησιν Αὐτοῦ ἐν τῇ Ἀποκαλύψει, δεικνὺς τὸ ὅμοιον τῆς ἀρχαίας ἀποκαλύψεως πρὸς τὴν νέαν (§ 17—21)· ἐκτίθησι τὴν εἰς τὸν Τρισυπόστατον πίστιν καὶ ἀναντιρρήτως δικαιοῖ τὴν εἰς Χριστὸν πίστιν τῇ τε ἱστορίᾳ καὶ τοῖς θαύμασιν. «Ἰδού, λέγει, ἄγουσι πρὸ τοῦ Κριτοῦ ἄνθρωπον, ὃν γινώσκουσι δαιμονῶντα. Ὁ χριστιανὸς ἐπιτάσσει τῷ δαίμονι εἰπεῖν τίς ἐστι, καὶ οὗτος λέγει τὴν ἀλήθειαν, ὅτι ἐστὶ δαίμων, εἰ καὶ ἐν ἄλλῃ περιστάσει ἐψεύδετο, καὶ ἐκάλει ἑαυτὸν θεόν.... τί τούτου καταφανέστερον... ἡ ἀλήθειά ἐστι σαφής. Ὁ Θεός ἐστι μετὰ τῶν χριστιανῶν. Ἡ ὑπόνοια ἐνταῦθα ἄτοπος... εἰ εἰσὶ θεοί, διὰ τί ψεύδονται καλοῦντες ἑαυτοὺς δαίμονας; ἐξ ὑπακοῆς λέγουσιν οὕτως; Ἀλλὰ τότε δῆλον, ὅτι ὁ θεὸς ὑμῶν ὑποτάσσεται τῷ χριστιανῷ— διὸ οὐχ ἡγητέος Θεός» (22—25). Ἐκ τῆς περὶ τοῦ ἀληθοῦς Θεοῦ ἐννοίας ἐξάγει τὸ συμπέρασμα, ὅτι οἱ χριστιανοὶ οὐκ εἰσιν ὑβρισταὶ τῆς Αὐτοκρατορικῆς μεγαλειότητος, καὶ τοῦτο ἀποδείκνυσιν ἐκ τῆς πείρας. Τούτῳ (τῷ ἀληθεῖ Θεῷ) αἴροντες τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανόν, ὑπτίαις χερσίν, ἀσκεπεῖς τὰς κεφαλάς, οὐδενὸς ἀναγκάζοντος, ἐκ καρδίας δεόμεθα ὑπὲρ τῆς μακροβιότητος τοῦ Αὐτοκράτορος, ὑπὲρ τῆς εὐδαιμονίας τῆς Αὐτοκρατορίας, ὑπὲρ τῆς ἀσφαλείας τοῦ οἴκου αὐτῶν, ὑπὲρ τῆς γενναιότητος τοῦ στρατοῦ, ὑπὲρ τῆς

πίστεως τῆς γερουσίας, ὑπὲρ τῆς ἠθικῆς τοῦ λαοῦ . . . ὁ Καῖσάρ ἐστι μᾶλλον ἡμέτερος, ἢ ὑμέτερος, ἅτε δὴ ὑπὸ τοῦ Θεοῦ ἡμῶν καταστασθείς. . . . Χθιζοί ἐσμεν, καὶ ἤδη πάντα τὰ ὑμέτερα ἐπληρώσαμεν, πόλεις, νήσους, φρούρια, κώμας, στρατόπεδα, φυλάς, δικαστήρια, ἀνάκτορα, γερουσίαν, ἀγοράν, [α]· μόνους τοὺς ναοὺς κατα-

(α) Περὶ τῆς θαυμαστῆς ἐν τῷ κόσμῳ ἐξαπλώσεως τοῦ χριστιανισμοῦ ποιεῖται λόγον καὶ ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ συγγράμματος τούτου: Obsessam vociferantur civitatem, in agris, in castellis, in insulis Christianos; omnem sexum, ætatem, conditionem, etiam dignitatem trangredi ad hoc nomen, quasi detrimento mœrent. . . .» ἐν τῷ συγγράμματι ad Scapulam c. II, «Cum tanta hominum multitudo, pars pene major civitatis cujusque, in silentio et modestia agimus, singuli forte noti magis, quam omnes»· —ad Nation. 1. 8. «Verum recogitate, ne quos tertium genus dicitis, principem locum obtineant, si quidem non ulla gens non christiana: itaque quaecumque gens prima nihilominus christiana».-Adv. Judaeos C.VII. «Ut jam Getulorum varietates, et Maurorum multi fines; Hispaniarum omnes termini, et Galliarum diversae nationes, et Britannorum inaccessa Romanis loca, Christo vero subdita; et Sarmatarum et Dacorum et Germanorum et Scytharum et abditarum multarum gentium, et provinciarum, et insularum multarum nobis ignotarum, et quae enumerare minus possumus? in quibus omnibus locis Christi nomen, qui jam venit, regnat; utpote ante que omnium civitatum portae sunt appertae, et cui nullae sunt clausae; ante quem serae ferreae sunt comminutae, et valvae aureae sunt apertae. Quamquam et ista spiritualiter sint intelligenda, quo praecordia singulorum variis modis a Diabolo obsessa, fide Christi sunt reserata; attamen perspicue sunt adimbleta, utpote in quibus omnibus locis populus nominis Dei inhabitet», in cap. XIII. «Aspice universas nationes de voragine erroris humani exinde emergentes ad Dominum Deum creatorem, et ad Deum Christum ejus. Et si audes, nega prophetatum; statim tibi promissio Patris occurrit in Psalmis, dicens: etc.— Τέλος ἐν τῷ λόγῳ de corona militis c. XII. « Et apud barbaros enim Christus». — Σ. Μ.

λείπομεν ὑμῖν. Τίς ἐστιν ὁ πόλεμος, δι᾽ ὃν οὐκ ἂν ἦμεν ἀρκούντως ἰσχυροί, ἀρκούντως καλῶς ὡπλισμένοι, ἀρκούντως πολυάριθμοι; Καὶ ὅμως κατασφαττόμεθα μὴ ὑπερασπίζοντες ἑαυτούς, διότι, κατὰ τὴν ἡμετέραν θρησκείαν, ἔξεστιν ἡμῖν φονεύεσθαι, ἀλλ᾽ οὐ φονεύειν· οὐ δεόμεθα ὅπλων ἢ ἐπαναστάσεως, ἵνα νικήσωμεν ὑμᾶς· ἀρκεῖ ἡμῖν ἁπλῆ ἀπειλὴ χωρισμοῦ. Εἰ, ὡς ἐσμὲν πολυάριθμοι, ἐγκαταλείπομεν ὑμᾶς, ἵνα ἀπέλθωμεν εἰς χώραν μακρὰν κειμένην, ἐφρίξατε ἂν πρὸς τὴν θέαν τῆς ὑμετέρας ἐγκαταλείψεως, καὶ ἡ αἰφνίδιος κατάπαυσις πάσης ἐμπορίας, πάσης τέχνης, ἠνάγκασεν ἂν ἡμᾶς νομίσαι, ὅτι ἅπαντες οἱ κάτοικοι τοῦ κόσμου ἀπέθανον. Τότε ἠναγκάσθητε ἂν ζητῆσαι ὑπηκόους διὰ τὴν ὑμετέραν Αὐτοκρατορίαν, εὕρετε ἂν ἐχθροὺς μᾶλλον, ἢ πολίτας» (26—27). Ἐφεξῆς διαγράφει τὸ πνεῦμα τῶν χριστιανικῶν συνελεύσεων, δεικνύς, ὅτι οὐκ ἐξ αὐτῶν προέρχονται αἱ κοινωνικαὶ συμφοραὶ (38—42)(*). Μετὰ δὲ ταῦ-

(*) Ἐν τῷ λθ΄. κεφαλαίῳ περιγράφει μεγαλοπρεπῶς τὸν βίον τῶν πρώτων χριστιανῶν. «Συνημμένοι, λέγει, τῷ συνδέσμῳ τῆς αὐτῆς πίστεως, τῆς αὐτῆς ἐλπίδος, τῆς αὐτῆς ἠθικῆς, ἀποτελοῦμεν ἓν σῶμα. Συνερχόμεθα, συνενούμεθα, ἀποτελοῦμεν, οὕτως εἰπεῖν, ἕνα στρατόν, ἵνα πολιορκήσωμεν τὸν Θεὸν διὰ τῶν ἡμετέρων προσευχῶν. Ἡ βία αὕτη ἐστὶν εὐάρεστος τῷ Θεῷ. Προσευχόμεθα ὑπὲρ τῶν Αὐτοκρατόρων, ὑπὲρ τῶν ὑπουργῶν αὐτῶν, ὑπὲρ ἁπασῶν τῶν ἀρχῶν, ὑπὲρ τῆς εἰρήνης τοῦ κόσμου, ὑπὲρ τῆς ἀναβολῆς τῆς τελευταίας καταστροφῆς. Ἐν ταῖς συναθροίσεσιν ἡμῶν ἀναγινώσκομεν τὴν ἁγίαν Γραφήν, ἣ παρέχει ἡμῖν, κατὰ τὴν περίστασιν, τὰ φῶτα καὶ τὰ παραγγέλματα, ὧν ἔχομεν χρείαν. Οὗτος ὁ ἅγιος λόγος τρέφει τὴν πίστιν ἡμῶν, ὑψοῖ τὴν ἐλπίδα ἡμῶν. . . . Ἐνθυμούμενοι, ὅτι ὁρᾷ ἡμᾶς ὁ Θεός, κρίνομεν περιεσκεμμένως τοὺς εἰς ἁμάρτημά τι πεσόντας, καὶ δεινὴ πρόκρισις τῆς μελλούσης κρίσεώς ἐστιν, εἴ τις κατέστη ἄξιος τοῦ ἐκβληθῆναι τῆς κοινωνίας τῶν ἡμετέρων προσευχῶν, τῶν ἡμετέρων συναθροίσεων, καὶ πάσης ἁγίας ἐπιμιξίας. Οἱ προεδρεύοντές εἰσιν ἱερεῖς, οἳ ἠξιώθησαν ταύτης τῆς τιμῆς οὐχὶ δι᾽ ἀργυρίου, ἀλλὰ διὰ τῆς μαρτυρίας δεδοκιμασμένης ἱκανότητος· οὐδὲν τῶν ἀφορώντων εἰς τὰ τοῦ Θεοῦ ἀγοράζεται . . . . Ἡ συνεισφορά ἐστιν ἑκουσία, αὕτη ἐστὶν ἱερὰ παρακαταθήκη, ἣ οὐ καταναλίσκεται εἰς συμπόσια, εἰς ἀσωτείας,

ταῦτα δείκνυσιν, ὅτι οἱ χριστιανοὶ ἐκ τοῦ αἰσθήματος τοῦ καθήκοντός εἰσιν ἐνάρετοι καὶ ἐν ταῖς ἀρεταῖς ἀνώτεροι τῶν φιλοσόφων καὶ φρονιμώτεροι αὐτῶν (43—48). Ἐξελέγχει τὸ ἄτοπον τῆς μετεμψυχώσεως τοῦ Πυθαγόρου καὶ τὴν ἄφρονα ἀδικίαν τῶν σκωμμάτων κατὰ τῆς εἰς τὴν ἀθανασίαν πίστεως, καὶ ἐν τῷ ἐπιλόγῳ λέγει: «Πλείους γιγνόμεθα θεριζόμενοι ὑφ᾽ ὑμῶν· σπέρμα ἐστι τὸ αἷμα τῶν χριστιανῶν. Πολλοὶ τῶν παρ᾽ ὑμῖν προτρέπουσι πρὸς καρτερίαν τοῦ ἄλγους καὶ τοῦ θανάτου, ὡς ὁ Κικέρων ἐν τοῖς Τουσκουλανοῖς, ὡς ὁ Σενέκας ἐν τοῖς Fortuitis, ὡς ὁ Διογένης, ὡς ὁ Πύρρων, ὡς ὁ Καλλίνικος, καὶ ὅμως οἱ λόγοι οὐχ εὑρίσκουσι τοιούτους μαθητάς, οἵους τὰ ἔργα τῶν χριστιανῶν. Αὐτὴ ἐκείνη ἡ ἰσχυρογνωμοσύνη, ἣν ψέγετε, ἐστι διδάσκαλος. Διότι τίς, ὁρῶν αὐτήν, οὐκ ἀναγκάζεται ἐξετάσαι τί δηλοῖ τὸ ἔργον αὐτὸ καθ᾽ ἑαυτό; Τίς πεῖραν λαβών, οὐ προσέρχεται ἡμῖν; Τίς προσελθών, οὐκ ἐπιθυμεῖ ὑπομένειν, ἵνα κτήσηται πλήρη τὴν τοῦ Θεοῦ χάριν; . . . Ἰδοὺ τίνος ἕνεκεν εὐχαριστοῦμεν ὑμῖν ἐπὶ τοῖς καθ᾽ ἡμῶν ὑμετέροις ψηφίσμασιν. Ἔστι θεῖος καὶ ἀνθρώπινος ζῆλος. Ὑφ᾽ ὑμῶν μὲν καταδικαζόμεθα, παρὰ δὲ τοῦ Θεοῦ λαμβάνομεν ἄφεσιν» (49—50) [*].

εἰς ματαίας δαπάνας, ἀλλὰ γίγνεται χρῆσις αὐτῆς πρὸς τροφὴν καὶ ταφὴν τῶν πτωχῶν, πρὸς συνδρομὴν τῶν ὀρφανῶν, τῶν γερόντων, τῶν ναυαγησάντων, τῶν καταδικασθέντων εἰς ἐξορίαν. . . . .» Σ. Μ.

(*) Ὁ Ἀπολογητικός, δικαίως ἐθαυμάσθη ὑπὸ πολλῶν ἐνδόξων συγγραφέων καὶ ἐθεωρήθη ὡς ἓν τῶν ἀριστουργημάτων τῆς χριστιανικῆς φιλολογίας. Τὸ τελευταῖον αὐτοῦ κεφάλαιον ἐπαινεῖ προσηκόντως ὁ σοφὸς Γάλλος Freppel, λέγων: «Vous chercheriez en vain dans Démosthène ou dans Cicéron une péroraison qui s' élève à cette hauteur de langage. Aussi plus d' un trait de ce célèbre morceau est-il devenu proverbial. Chaque fois qu' un orateur chrétien veut formuler la grande loi d' après laquelle l'Église renouvelle sa fécondité dans le sacrifice, il cite le mot de Tertullien: « Le sang des martyrs est une semence de chrétiens». Et quand l' innocence persécutée en appele des jugements de la terre à ceux du ciel, elle ne manque pas de répéter avec le prêtre de Carthage: «Les hommes nous condamment, mais Dieu nous absout». C' est le pro-

Τὸ σύγγραμμα *de testimonio animae* (περὶ τῆς μαρτυρίας τῆς ψυχῆς) οὐκ ἔστιν ὀγκῶδες, ἀλλὰ πλούσιον κατὰ τὸ περιεχόμενον, καὶ πλῆρες βαθειῶν ἐννοιῶν. Ἡ κυρία ἔννοια, ἣν ὁ συγγραφεὺς ἐξέθηκεν ἐν τῷ δεκάτῳ ἑβδόμῳ κεφαλαίῳ τοῦ Ἀπολογητικοῦ, καὶ ἀνέπτυξε πλατύτερον ἐνταῦθά, ἐστιν ἥδε: Ὁ χριστιανισμὸς ἔχει τὴν ἑαυτοῦ βάσιν ἐν τῇ φύσει τοῦ ἀνθρώπου. «Αἱ προσπάθειαι πολλῶν [α], λέγει, ζητεῖν ἐν τοῖς συγγράμμασι τῶν ἀρίστων ἐθνικῶν συγγραφέων τὰς χριστιανικὰς ἀρχάς, ἐφάνησαν ἀνωφελεῖς». Τούτου ἕνεκα ἔγνω ἀποταθῆναι πρὸς τὴν ἀρχαιοτάτην καὶ καθολικὴν μαρτυρίαν περὶ τῆς χριστιανικῆς ἀληθείας, πρὸς τὴν μαρτυρίαν τῆς ψυχῆς, ἀνεξάρτητον οὖσαν τῶν ἐξωτερικῶν περιστάσεων. Ἐντὸς καὶ ἐκτὸς τῶν οἴκων αὐτῶν οἱ ἐθνικοὶ λέγουσι: «Ταῦτα σὺν Θεῷ γένοιτ' ἄν, εἰ Θεὸς ἐθέλει! Ὁ μὲν Θεὸς ἐστιν ἀγαθός· ὁ δὲ ἄνθρωπος κακός. Ὁ Θεὸς εὐλογῆσαι σε. Ἄφες τοῦτο ἐν ταῖς χερσὶ τοῦ Θεοῦ. Ὁ Θεὸς ἀνταμείψει σε ἐπὶ τούτῳ. Ὁ Θεὸς κρινεῖ μεταξὺ ἡμῶν». Πῶς ψυχὴ μὴ χριστιανικὴ δύναται χρῆσθαι τοιαύταις ἐκφράσεσιν, οὔσαις πάντη ἐναντίαις ἁπάσαις ταῖς μυθολογικαῖς ἰδέαις; Τοῦτό ἐστιν ἀνεξήγητον τῷ μὴ παραδεχομένῳ, ὅτι τῇ φύσει ἡμῶν ἐμπέφυκεν ἡ θρησκευτικὴ συνείδησις, ᾗ ἐνετυπώθησαν αἱ θεμελιώδεις αὗται ἀλήθειαι, αἱ ὑπὸ τῆς ψυχῆς μαρτυρούμεναι ἐν τῷ μέσῳ αὐτῆς τῆς ἐπισκοτίσεως καὶ ἐρημίας αὐτῆς. Αἱ τοιαῦται δηλώσεις τοῦ ἐλευθέρου πνεύματός εἰσι πολλῷ σημαντικώτεραι καὶ βαθύτερον εἰσδύουσιν εἰς τὴν οὐσίαν τῆς ἀνθρωπίνης ψυχῆς, ἢ ἅπαντες οἱ λῆροι τῶν ποιητῶν καὶ φιλοσόφων.

Τὸ μικρὸν τοῦτο κατὰ τὸν ὄγκον σύγγραμμά ἐστιν ἄξιον μελέτης.

---

pre des hommes de génie d'exprimer la vérité sous une forme qui ne permet plus de séparer leur pensée de l'expression qu' ils ont employée pour la rendre» (Tertullien, cours d' éloquence sacrée, tom. I. p. 187). Σ. Μ.

[α] Ὑπαινίττεται τοὺς πρὸ αὐτοῦ κατὰ τῶν ἐθνικῶν γράψαντας, δηλ. τὸν Κοδράτον, τὸν Ἀριστείδην, τὸν Ἰουστῖνον, τὸν Μελίτωνα, Θεόφιλον τὸν Ἀντιοχείας, τὸν Ἀπολινάριον, τὸν Τατιανόν, Κλήμεντα τὸν Ἀλεξανδρέα, καὶ τὸν Μιλτιάδην, ὧν τινα κατὰ λέξιν σχεδὸν ἐγκατέσπειρε τῷ Ἀπολογητικῷ. Σ. Μ.

καὶ δείκνυσιν ἡμῖν τὴν κατάστασιν τοῦ ἐθνισμοῦ καὶ τὰς πρὸς τὸν χριστιανισμὸν σχέσεις αὐτοῦ [*].

§ 81. *β] Πολεμικὰ ἅμα καὶ δογματικὰ συγγράμματα·* **de Praescriptionibus adversus haereticos** *(περὶ προγραφῶν κατὰ τῶν αἱρετικῶν)·* **de baptismo** *(περὶ βαπτίσματος).*

Ἐν τοῖς πολεμικοῖς ἅμα καὶ δογματικοῖς συγγράμμασι τοῦ Τερτυλλιανοῦ κατατάσσονται α΄] τὸ βιβλίον de praescriptionibus adversus haereticos, συγγραφὲν πρὸ πάντων τῶν τοιούτου εἴ-

[*] Οὐδεὶς τῶν πατέρων τῆς Ἐκκλησίας διέγραψε κάλλιον τοῦ Τερτυλλιανοῦ τὴν μεταξὺ τῆς ἀνθρωπίνης διανοίας καὶ τῆς ἀληθείας ὑπάρχουσαν ἀναλογίαν. Πρὸς κατάληψιν τῆς περὶ τούτου δόξης τοῦ Τερτυλλιανοῦ παρατίθεμεν τὸν ἐπίλογον τοῦ συγγράμματος τούτου, ἔνθα λέγει πρὸς τοὺς ἐθνικούς: «Si de tuis litteris dubitas, neque Deus, neque natura mentitur. Ut et naturæ et Deo credas, crede animæ; ita fiet, ut et tibi credas. Illa certe est, quam tanti facis, quantum illa te facit; cujus es totus; quæ tibi omnia est; sine qua nec vivere potes nec mori; propter quam Deum negligis. Quum enim times fieri Christianus, eam conveni: cur alium colens, Deum nominat? Cur, cum maledicendos spiritus denotat, daemonia pronunciat? Cur ad cœlum contestatur, et ad terram de testatur? Cur alibi servit, alibi vindicem convenit? Cur de mortuis judicat? Cur verba habet Christianorum, quos nec auditos visosque vult? Cur aut nobis dedit ea verba, aut accepit a nobis? Cur aut docuit, aut didicit? Suspectam habe convenientiam praedicationis in tanta disconvenientia conversationis. Vanus es, si huic linguæ soli aut Graecæ, quæ propinquæ inter se habentur, reputabis ejusmodi, ut neges naturæ universitatem. Non latinis nec Argivis solis anima de cœlo cadit. Omnium gentium unus homo nomen est, una anima, varia vox, unus spiritus, varius sonus; propria cuique genti loquela, sed loquelæ materia communis. Deus ubique et bonitas Dei ubique, daemonium ubique, et maledictio daemonii ubique. judicii divini invocatio ubique, mors ubique, et conscientia mortis ubique et testimonium ubique. Omnis anima suo jure proclamat, quae nobis ne mutire conceditur. Merito igitur omnis anima rea et

δους συγγραμμάτων ὑπὸ τοῦ Τερτυλλιανοῦ ἐν τῇ μετὰ τῆς Ἐκκλησίας ἑνώσει διατελοῦντος· περιέχει δὲ γενικὰς ἀρχὰς διὰ τὴν πολεμικὴν καθ᾽ οἱωνδήποτε αἱρέσεων, καὶ μεταξὺ αὐτῶν, κατὰ τὴν προσφιλῆ τῷ Τερτυλλιανῷ ἔκφρασιν, *argumentum praescriptionis*([1]). Ἡ ἔκφρασις αὕτη ἐλήφθη ἐκ τοῦ ρωμαϊκοῦ δικαίου, καθ᾽ ὃ ὁ κύριος, ὁ ἐπὶ πολὺν χρόνον κεκτημένος κτῆμά τι, θεωρεῖται νόμιμος κύριος, καὶ ἐπὶ τὸν αἰτητὴν πίπτει onus probandi. Τοῦτο σημαίνει, ὅ,τι τὸ ἡμέτερον: δ ι κ α ί ω μ α κ α τ ο χ ῆ ς [α].

testis est, in tantum et rea erroris, in quantum testis veritatis; et stabit ante aulas Dei die judicii, nihil habens dicere. Deum praedicabas, et non requirebas; daemonia abominabaris, et illa adorabas, judicium Dei appellabas, nec esse credebas; inferna supplicia praesumebas, et non praecavebas; Christianum nomen sapiebas et Christianum persequebaris». Σ. Μ.

([1]) Ἐν τῷ τέλει τοῦ μθ΄. κεφαλαίου τοῦ συγγράμματος τούτου γράφει ὁ Τερτυλλιανός: « Sed nunc quidem generaliter actum est adversus haereses omnes, certis et justis, et necessariis praescriptionibus repellendas a conlatione Scripturarum. De reliquo, si Dei gratia annuerit, etiam specialiter quibusdam resbondebimus. Haec in fide veritatis . . . » Ἀληθῶς ἐν τῷ κατὰ Μαρκίωνος συγγράμματι I, 2, ὅπερ συνέταξε, μοντανιστὴς ὤν, λέγει: sedalius libellus hunc gradum sustinebit adversus haereticos, etia sinm cretractatu doctrinarum revincendos, quod hoc sint de praescriptione novitatis. Ἀλλ᾽ ἐνταῦθα οὐχ ὑπισχνεῖται δοῦναι τὴν θεωρίαν γενικῶν ἐλέγχων κατὰ πασῶν τῶν αἱρέσεων ἐν ἰδίῳ βιβλίῳ, ἀλλὰ μόνον λέγει, ὅτι νῦν πραγματεύεται οὐ περὶ κοινῶν ἀρχῶν, ἀλλὰ περί τινων μερικῶν ἐννοιῶν κατὰ Μαρκίωνος. Τοῦ συγγράμματος de praescriptionibus σαφῶς ποιεῖται ἐνταῦθα μνείαν· lib IV. 5. V. 19. Ὁ μέλλων: sustinebit ἐπ᾽ οὐδεμίαν ἀκτέον ἀπάτην. De anima c. 6. adv. Marc. II. 27. V. 19. Ἐντεῦθεν ὑποθετέον, ὅτι τὸ σύγγραμμα τοῦτο ἐγράφη ὑπὸ τοῦ Τερτυλλιανοῦ, μέλους ἔτι ὄντος τῆς Ἐκκλησίας, καὶ τοσούτῳ μᾶλλον, ὅσον αὐτὸς οὗτος τίθησιν ἑαυτὸν ἐν συνδέσμῳ μετὰ τῶν ἀποστολικῶν Ἐκκλησιῶν, καὶ οὐδὲν λέγει ὄζον μοντανισμοῦ.

(α) «Ἐπιγράφεται λέγει ὁ σοφὸς Κ. Κοντογόνης, τὸ σύγγραμμα *περὶ προγραφῶν*, ἢ μᾶλλον *περὶ τῆς προγραφῆς κατὰ τῶν αἱρετικῶν*, διότι ἡ διδασκαλία αὐτῶν εἶναι προγεγραμμένη, εἶναι εἰς τὴν Ἐκκλησί-

Ἐν αὐτῇ τῇ ἀρχῇ ὁ Τερτυλλιανὸς σπουδάζει καθησυχάσαι τοὺς δυναμένους σκανδαλισθῆναι ἐκ τῆς ἐν τῇ Ἐκκλησίᾳ γενέσεως τῶν αἱρέσεων καὶ τῆς πτώσεως ἐπιφανῶν ἀνδρῶν. Λέγει, ὅτι αἱ αἱρέσεις προερρέθησαν, ὅτι ἐπιτρέπονται πρὸς δοκιμασίαν τῆς πίστεως, καὶ ὅτι οὐκ ὀφείλομεν κρίνειν τὴν πίστιν ἐκ τῶν ἀνθρώπων, ἀλλὰ τοὺς ἀνθρώπους ἐκ τῆς πίστεως αὐτῶν. Ποιησάμενος ταύτην τὴν παρατήρησιν, ἐπιφέρει τὴν ἑπομένην ἀρχὴν πρὸς ἔλεγχον τῶν αἱρετικῶν: Nobis vero nihil ex nostro arbitrio inducere licet, sed nec eligere quod aliquis de arbitrio suo induxerit. Apostolos Domini habemus auctores, qui nec ipsi quidquam ex suo arbitrio, quod inducerent, elegerunt; sed acceptam a Christo disciplinam, fideliter nationibus assignaverunt..... Nobis curiositate opus non est, post Christum Jesum; nec inquisitione, post Evangelium. Cum credimus, nihil desideramus credere» (c. 1—7). «Οὐδὲν ἔξεστιν ἡμῖν εἰσάγειν εἰς τὴν θρησκείαν αὐτογνωμόνως, οὐδ' ἐκλέγειν ὅ,τι ἂν ἄλλος ἀφ' ἑαυτοῦ ἐπινοήσειε. Τοὺς Ἀποστόλους τοῦ Κυρίου ἔχομεν διδασκάλους, οἳ οὐδ' αὐτοὶ εἰσήγαγόν τι κατ' ἰδίαν ἐκλογήν, ἀλλὰ τὴν ὑπὸ τοῦ Χριστοῦ ληφθεῖσαν διδασκαλίαν πιστῶς παρέδωκαν τοῖς ἔθνεσιν.... Οὐκ ἔστιν ἡμῖν χρεία πολυπραγμοσύνης μετὰ Χριστὸν Ἰησοῦν οὐδὲ ἐξετάσεως μετὰ τὸ Εὐαγγέλιον. Πιστεύοντες, οὐδὲν ἐφιέμεθα πιστεύειν». Οἱ αἱρετικοὶ προὐβάλλοντο τοὺς λόγους τῆς ἁγίας Γραφῆς· Ζητεῖτε καὶ εὑρήσετε. Ὁ Τερτυλλιανὸς ἀποκρίνεται, ὅτι εἰ εὕρομεν ὅ,τι ἐζητοῦμεν, τὸν Χριστόν, οὐδενὸς πλέον δεόμεθα· εἰ δὲ καὶ χρὴ ζητεῖν, ἀναμφιβόλως οὐ παρὰ τοῖς αἱρετικοῖς. «Quaeramus ergo in nostro, et a nostris, et ed nostro; idque duntaxat, quod salva regula fidei, potest in quaestionem devenire». «Ζητῶμεν ἐν τῇ ἡμετέρᾳ διδασκαλίᾳ, καὶ παρὰ τοῖς ἡμετέροις, καὶ περὶ τοῦ ἡμετέρου· καὶ ἐκεῖνο μόνον, ὅπερ δύναται ἐλθεῖν εἰς ἐξέτασιν, μὴ παραβλαπτομένου τοῦ κανόνος τῆς πίστεως» (8—12). Παραθεὶς ἔπειτα αὐτὸ τὸ σύμβολον

αν ἀπαράδεκτος διὰ τοὺς περιεχομένους νεωτερισμούς· ἢ διότι, κατ' ἔκφρασιν δικανικήν, ἀντιτάσσων ὁ Τερτυλλιανὸς πρὸς τοὺς αἱρετικοὺς τῆς ἀληθοῦς θρησκείας τὴν ἀρχαιότητα, ἀποδεικνύει, ὅτι διὰ αὐτὸ τοῦτο, διότι διδάσκουσι νέα δόγματα, ἡ διδασκαλία αὐτῶν εἶναι ψευδὴς καὶ πεπλανημένη» (Φιλ. καὶ κρτ. ἱστ. τῶν ἁγ. Πατ. Τ. Α΄. σελ. 592). Σ. Μ.

τῆς πίστεως, ἐπάγει: «Εἰ ἔσῃ στερρῶς κατέχων τοῦτον τὸν κανόνα τῆς πίστεως, δύνασαι ἐρευνῆσαι καὶ ἐξετάσαι πᾶν τὸ φαινόμενον ἀμφίβολον. ἢ σκοτεινόν» (13—14). Οἱ αἱρετικοὶ ἀνέφερον ὑπὲρ ἑαυτῶν τὴν ἁγίαν Γραφήν. Ὁ Τερτυλλιανὸς λέγει, ὅτι ἡ Ἐκκλησία οὐκ ἔχει ἀνάγκην εἰσέρχεσθαι μετ' αὐτῶν εἰς κρίσιν τῶν Γραφῶν. «Οἱ αἱρετικοὶ ὁτὲ μὲν οὐ παραδέχονται βιβλία τινὰ τῆς ἁγίας Γραφῆς ὁτὲ δὲ παραδέχονται, ἀλλ' οὐ τὸ ὅλον, ἢ ἑρμηνεύουσιν αὐθαιρέτως». Ἐντεῦθεν ἰστέον ἐν πρώτοις: «ὑπὸ τίνος, διὰ τίνος, καὶ τίνι μετεδόθη ἡ διδασκαλία, ἡ διδάσκουσα τοὺς χριστιανούς;» Καὶ ἀνέρχεται πρὸς τὸν Κύριον Ἰησοῦν, ὡς θεμελιωτήν, καὶ πρὸς τοὺς Ἀποστόλους, ἅτε δὴ παρ' Αὐτοῦ δεξαμένους τὴν πίστιν καὶ μεταδόντας αὐτὴν ταῖς ἀποστολικαῖς Ἐκκλησίαις· μνημονεύονται αἱ ὑπὸ τῶν Ἀποστόλων θεμελιωθεῖσαι Ἐκκλησίαι· δείκνυται τὸ ἀδύνατον τοῦ ὅτι οἱ Ἀπόστολοι ἐδίδασκον ἕτερόν τι ἐκτὸς ἐκείνου, ὅπερ ἤκουσαν παρὰ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὅτι αἱ ἀποστολικαὶ Ἐκκλησίαι οὐ κατεῖχον ἄλλην διδασκαλίαν ἐκτὸς τῆς ἀποστολικῆς. Ἐντεῦθεν τὸ συμπέρασμα: Τὴν διδασκαλίαν τὴν σύμφωνον τῇ τῶν ἀποστολικῶν Ἐκκλησιῶν παραδεκτέον ὡς ἀληθῆ, ἅτε δὴ περιέχουσαν ἐκεῖνα, ὅπερ αἱ Ἐκκλησίαι παρέλαβον παρὰ τῶν Ἀποστόλων, οἱ δὲ Ἀπόστολοι παρὰ τοῦ Χριστοῦ, ὁ δὲ Χριστὸς παρὰ τοῦ Θεοῦ ... ἰδοὺ ἡ περὶ τῆς ἀληθείας μαρτυρία (15—21). Οἱ σύγχρονοι τῷ Τερτυλλιανῷ αἱρετικοί, καθάπερ τινὲς τῶν νεωτεριστῶν, ἔλεγον, ὅτι οἱ Ἀπόστολοι: «οὐ πάντα ἐγίνωσκον, ἤ, καὶ πάντα γινώσκοντες, ἀλλ' οὐ πάντα πᾶσι παρέδωκαν». Ὁ Τερτυλλιανὸς ἀποκρίνεται: «Τίς εὖ φρονῶν δύναται πιστεύειν, ὅτι ἠγνόουν τι ἐκεῖνοι, οὓς ὁ Κύριος κατέστησε διδασκάλους καὶ οἳ ἦσαν ἀχώριστοι ἀκόλουθοι τῶν πορειῶν Αὐτοῦ, τῆς διδασκαλίας, τοῦ βίου, οἷς ἡρμήνευε τὰ φαινόμενα αὐτοῖς σκοτεινά, ἐκείνοις λέγων δεδόσθαι γινώσκειν τὰ μυστήρια, ἃ οὐκ ἠδύνατο ὁ λαὸς ἐννοεῖν: ἔλαθέ τι τὸν Πέτρον, τὸν κληθέντα πέτραν πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας (Ματθ, ις'. 18. 19), τὸν τυχόντα τῶν κλειδῶν τῆς βασιλείας τῶν Οὐρανῶν, καὶ τῆς δυνάμεως τοῦ δεσμεῖν καὶ λύειν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς; Ἔλαθέ τι καὶ τὸν Ἰωάννην, τὸν προσφιλέστατον τῷ Κυρίῳ, τὸν ἀναπεσόντα ἐπὶ τὸ στῆθος Αὐτοῦ, ᾧ μόνῳ ὁ Κύριος ὑπέδειξε τὸν προδότην Ἰού-

δαν, ὃν ὡς Υἱὸν τῇ μαρτυρίᾳ συνέστησεν . . . . Ἠγνόησαν καὶ ἐκεῖνοι, οἷς μετὰ τὴν Ἀνάστασιν καὶ καθ' ὁδὸν πάσας τὰς Γραφὰς ἑρμηνεῦσαι ἠξίωσεν; εἰπέ ποτε σαφῶς: *ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι* (Ἰωαν. ιϛ'. 12, 13), ὅμως προσθείς: *ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν*, ἔδειξεν, ὅτι οὐδὲν ἔλαθεν ἐκείνους, οἷς ὑπέσχετο κτήσασθαι πᾶσαν τὴν ἀλήθειαν διὰ τοῦ Πνεύματος τῆς ἀληθείας» (22). Εἰς τὴν ἔνστασιν: ὁ Πέτρος ἠλέγχθη ὑπὸ τοῦ Παύλου, ἀποκρίνεται, ὅτι, ἐν τῇ περιστάσει ταύτῃ, τὸ σφάλμα ἐνέκειτο ἐν τῇ ἀναστροφῇ, οὐχὶ δὲ ἐν τῷ κηρύγματι. «Conversationis fuit. vitium, non praedicationis» (23). Δεδόσθω, ἔλεγον οἱ αἱρετικοί, ὅτι οἱ Ἀπόστολοι αὐτοὶ ἐγίγνωσκον τὴν ἀλήθειαν· ἀλλ' ἀληθείας τινὰς ἀπεκάλυψαν μόνον *τοῖς πνευματικοῖς*, καὶ πολλοὶ τῶν μαθητῶν ἠλέγχθησαν ὑπ' αὐτῶν ὡς περιπεσόντες εἰς πλάνας. Ὁ Τερτυλλιανὸς ἀποκρίνεται: «τὰ μυστήρια ἐνεπιστεύθησαν τοῖς *ἐκλεκτοῖς* συνῳδὰ τῇ τοῦ Κυρίου θελήσει· *μὴ βάλησθε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων*. Οὐχ ἧττον ὁ Κύριος ἐδίδασκε φανερῶς, καὶ διέταξεν, ἵνα τὸ ὑπ' αὐτῶν (τῶν Ἀποστόλων) ἀκουσθὲν ἐν τῇ σκοτίᾳ καὶ κατ' ἰδίαν κηρυχθῇ ἐν τῷ φωτὶ καὶ ἐπὶ τῶν δωμάτων . . . καὶ οὐδὲν ἐφοβοῦντο—οὔτε τὴν βίαν τῶν Ἰουδαίων, οὔτε τὴν ἐξουσίαν τῶν Ἐθνικῶν. Εἰ μετεδίδοσαν ἰδίας διδασκαλίας πιστοῖς μαθηταῖς, τοῦτο οὐδαμῶς δηλοῖ, ὅτι ἕνα μὲν Χριστὸν ἐκήρυσσον δημοσίᾳ, ἕτερον δ' ἐν μυστικαῖς κοινότησιν». Εἰς τὸ ἕτερον ἥμισυ τῆς ἐνστάσεως ἀποκρίνεται : «Εἰ προβάλλονται Ἐκκλησίας ἐλεγχθείσας, τοῦτο δείκνυσιν, ὅτι αἱ Ἐκκλησίαι αὗται διωρθώθησαν. Ἐνθυμηθήτωσαν πρὸς τούτοις, ὅτι ἐπὶ τῇ πίστει, τῇ γνώσει, καὶ τῷ βίῳ τῶν ἄλλων Ἐκκλησιῶν οἱ Ἀπόστολοι ἔχαιρον, καὶ αἱ ἐλεγχθεῖσαι διατελοῦσι νῦν πρὸς αὐτὰς ἐν συνδέσμῳ ὁμονοίας»(24—27). Ἐπὶ δὲ τούτοις ἐξελέγχει τὸ ψευδὲς τῆς αἱρετικῆς διδασκαλίας τῷ ὁμοιομόρφῳ, τῇ ἀρχαιότητι καὶ τῇ θαυματουργικῇ δυνάμει τῆς διδασκαλίας τῆς Ἐκκλησίας». Τελέως ἀπίθανον, ὅτι τοσαῦται καὶ τοιαῦται Ἐκκλησίαι ἐπλανήθησαν . . . Τὴν πλάνην τῶν Ἐκκλησιῶν δεῖ δηλοῦν τῇ διαφορᾷ τῆς διδασκαλίας, εἰ ἐδίδασκον πλάνην· τὸ δὲ παρὰ πολλοῖς εὑρισκό-

μενον οὐ διεφθάρη, ἀλλὰ παρεδόθη . . . οἱ χριστιανοὶ ἐφάνησαν οὐ πρὸ τοῦ Χριστοῦ, καὶ αἱ αἱρέσεις οὐ πρὸ τῆς ἀληθοῦς διδασκαλίας. Ἄτοπον νομίζειν, ὅτι ἡ αἵρεσις ἦν ἀρχαιοτέρα τῆς διδασκαλίας, προειπούσης τὴν γένεσιν τῶν αἱρέσεων καὶ προφυλαξάσης ἀπ' αὐτῶν τοὺς πιστούς» (28 — 37). Εἰ οἱ αἱρετικοὶ ἠδύναντο δεῖξαι διαδοχήν τινα τῶν ἑαυτῶν ἀρχηγῶν ἀπὸ τῶν ἀποστολικῶν ἀνδρῶν, αἱ προσθῆκαι, αἱ ἀφαιρέσεις, καὶ αἱ μεταβολαὶ αἱ ὑπ' αὐτῶν γενόμεναι ἐν τοῖς ἱεροῖς βιβλίοις, δεικνύουσιν, ὅτι ἔπλασαν τὴν διδασκαλίαν αὐτῶν μετὰ τὴν σύνταξιν τῶν θεοπνεύστων βιβλίων, καὶ ἑπομένως ἡ διδασκαλία αὐτῶν οὐκ ἔστι θεία, ἀλλὰ πλάσμα θρασύτητος (38—40). Τέλος ὁ Τερτυλλιανός, ἀποτεινόμενος πρὸς τὰ ἤθη καὶ τὰ νόμιμα τῶν αἱρετικῶν, δείκνυσιν ὅσον ἄσεμνός ἐστιν ὁ βίος αὐτῶν, ὅσον δὲ ἄτακτα καὶ μάταια τὰ κοινωνικὰ αὐτῶν ἔθιμα, καὶ ἑπομένως ὅσον οἱ καρποὶ αὐτῶν δεικνῦσι τὴν σαπρότητα τοῦ δένδρου (41—44).

Τὸ λοιπὸν μέρος τοῦ νῦν κειμένου (45—52) οὐκ ἀνήκει τῷ Τερτυλλιανῷ. Ἐνταῦθα ἀνασκευάζονται αἱ μερικαὶ αἱρετικαὶ διδασκαλίαι. Ὁ δὲ σκοπὸς τοῦ Τερτυλλιανοῦ ἦν ἀναγράψαι μόνον τὰς γενικὰς ἀρχὰς τῆς πρὸς τοὺς αἱρετικοὺς πολεμικῆς.

Τὸ σύγγραμμα τοῦτο περιέχει ἐξαίρετον ἀνασκευὴν πασῶν τῶν αἱρετικῶν καὶ σχισματικῶν διδασκαλιῶν, μὴ ἐξαιρουμένων τῶν Διαμαρτυρητῶν καὶ τῶν Ὀρθολογιστῶν. Διότι τὸν ἀποχωρισμὸν ἀπὸ τῆς ἑνότητος καὶ τῆς ἀρχῆς τῆς Ἀποστολικῆς Ἐκκλησίας, τὴν ἀπόρριψιν τῆς παραδόσεως, τὸ αὐθαίρετον τοῦ ἑρμηνεύειν τὰς Γραφάς, κηρύττουσιν ἐπ' ἴσης καὶ οὗτοι, ὡς ἐκήρυττον ὁ Μαρκίων, ὁ Οὐαλεντῖνος, καὶ οἱ ἄλλοι σύγχρονοι τῷ Τερτυλλιανῷ αἱρετικοί.

γ΄] Τὸ βιβλίον *de baptismo* (περὶ βαπτίσματος) ἐστι πολεμικὴ ἅμα καὶ δογματικὴ μελέτη περὶ τοῦ μυστηρίου τοῦ βαπτίσματος, συγγραφεῖσα ὑπὸ τοῦ Τερτυλλιανοῦ, ὀρθοδόξου ἔτι ὄντος, κατ' ἐπίμονον αἴτησιν αἱρετικῆς τινος γυναικός, Κουϊντέλλης καλουμένης, ἐκ τῆς αἱρέσεως τῶν Καϊανῶν, ἀπορριπτόντων τὸ δι' ὕδατος βάπτισμα, διότι, κατ' αὐτούς, ἦν ἀνάξιον τῆς τοῦ Θεοῦ μεγαλειότητος ἀνάλογα ποιεῖσθαι τὰ ἀόρατα δῶρα τοῦ πνεύματος πρὸς ἐξωτερικὰ καὶ ὑλικὰ πράγματα, οἷον τὸ ὕδωρ. Ὁ Τερτυλλιανὸς δείκνυσιν, ὅτι τοὐναντίον ἐν τῇ φαινομένῃ ἀπρεπείᾳ καλύπτεται τὸ μεγαλεῖον τοῦ Θεοῦ·

καὶ περιγράφει τὰ πλεονεκτήματα τοῦ ὕδατος, ἀρχόμενος ἀπὸ τῆς δημιουργίας τοῦ κόσμου, ὅτε τὸ Πνεῦμα τοῦ Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Λέγει, ὅτι οἱ τύποι καὶ αἱ προφητεῖαι τῆς Παλαιᾶς Διαθήκης, αἱ ἀναφερόμεναι εἰς τὸ σωτήριον βάπτισμα, ἐξεικονίζουσι τὴν μυστικὴν ἕνωσιν τῆς χάριτος μετὰ τοῦ ὕδατος ἐν τῷ χριστιανικῷ βαπτίσματι· παρίστησι τὸ ἀναγκαῖον τοῦ μυστηρίου τούτου διὰ τῆς σαφοῦς τοῦ Ἰησοῦ Χριστοῦ ἐντολῆς «διδάσκειν τε καὶ βαπτίζειν πάντα τὰ ἔθνη», καὶ διὰ τῆς ἀπειλῆς Αὐτοῦ, ὅτι οἱ μὴ βαπτισθησόμενοι «οὐκ εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ»· διαγράφει ἐν λεπτομερείᾳ τὴν τελετὴν τοῦ βαπτίσματος, καὶ σὺν τοῖς ἄλλοις μνημονεύει, ὅτι μετὰ τὴν ἐκ τοῦ ὕδατος ἔξοδον λαμβάνουσιν οἱ βαπτιζόμενοι τὸ χρίσμα καὶ τὴν χειροθεσίαν, ἐφεξῆς πραγματεύεται περὶ ἀναδόχων, καὶ ἐκτίθησι τὰ καθήκοντα αὐτῶν.

Τὸ σύγγραμμα τοῦτο μετὰ πλείστης ὅσης ἀκριβείας ὁρίζει τὴν περὶ βαπτίσματος ἔννοιαν, περὶ τοῦ ὁρατοῦ καὶ ἀοράτου μέρους τοῦ μυστηρίου τούτου· περιγράφει δὲ καὶ αὐτὸν τὸν τύπον αὐτοῦ. Διό ἐστι πάνυ σπουδαῖον διά τε τὴν δογματικὴν καὶ τὴν διδασκαλίαν περὶ τῶν τελετῶν τῆς Ἐκκλησίας.

§ 82. *Κατὰ Πραξέου καὶ Μαρκίωνος.*

δ´] Τὸ σύγγραμμα *adversus Praxeam* (κατὰ Πραξέου), καί περ συγγραφὲν ὑπὸ τοῦ Τερτυλλιανοῦ μετὰ τὴν ἀποστασίαν αὐτοῦ, ἐστι πάνυ σπουδαῖον διὰ τὴν περὶ τῆς ἁγίας Τριάδος διδασκαλίαν (¹). Ἐν τῷ ἐλέγχῳ τοῦ Πραξέου, μὴ παραδεχομένου διάκρισιν τῶν προσώπων ἐν τῇ Θεότητι, ὁ Τερτυλλιανὸς ἐκτίθησι τὸ σύμβολον τῆς πίστεως καὶ χωρία τῆς ἁγίας Γραφῆς, διασαφεῖ δὲ τοὺς λόγους ἐκείνους τῆς Γραφῆς, οὓς ἀνέφερεν ὑπὲρ ἑαυτοῦ ὁ Πραξέας, καὶ λύει τὴν ἔνστασιν αὐτοῦ, ἐπικαλούμενος εἰς βοήθειαν καὶ τὰς τοῦ λογικοῦ σκέψεις. «Ἡ διαίρεσις τῆς μοναρχίας, λέγει, συνέβαινεν ἄν, εἰσαγόντων ἡμῶν ἑτέραν ἀντενεργοῦσαν ἐξουσίαν, παραδεχομένην ἕτερον Θεὸν

(¹) Περὶ τοῦ Πραξέου ἴδε ἐν τῇ γενικῇ ἐπιθεωρήσει. «Duo negotia, λέγει περὶ αὐτοῦ ὁ Τερτυλλιανός, diaboli Praxeas Romæ procuravit, prophetiam expulit, et hæresim intulit, Paracletum fugavit, et Patrem crucifixit.» Adv. Prax., c. 1, 2, 8. Πρβλ. σημ. 10, 18.

ἐκτὸς τοῦ Δημιουργοῦ . . . ὁ Λόγος προῆλθεν ἐκ τοῦ Πατρός, ὡς τὸ φυτὸν ἐκ τῆς ῥίζης αὐτοῦ, ὡς τὸ ῥεῖθρον ἐκ τῆς ἰδίας πηγῆς, ὡς ἡ ἀκτὶς ἐκ τοῦ Ἡλίου . . . Ὁμολογῶ οὖν δύο πρόσωπα, τὸν Πατέρα καὶ τὸν Λόγον Αὐτοῦ, τὸν Πατέρα καὶ τὸν Υἱὸν Αὐτοῦ, διότι καὶ ἡ ῥίζα καὶ ὁ κλάδος εἰσὶ δύο πράγματα, ἀλλ᾽ ἡνωμένα. Καὶ ἡ πηγὴ καὶ τὸ ῥεῖθρόν εἰσι δύο, ἀλλ᾽ ἀδιαίρετα. Καὶ ὁ Ἥλιος καὶ ἡ ἀκτίς εἰσι δύο μορφαὶ (formae), ἀλλὰ συνημμέναι. Πᾶν τὸ ἐξ ἑνὸς πράγματος προερχόμενόν ἐστιν ἀναγκαίως τὸ δεύτερον ἐκείνου, ἐξ οὗ προέρχεται, ἀλλ᾽ οὐκ ἔστι διὰ τοῦτο κεχωρισμένον. Ὅπου δέ ἐστι δεύτερός, εἰσι δύο. Καὶ τρίτος ὅπου ἐστί, τρεῖς εἰσι. Διότι ὁ τρίτος ἐστὶ τὸ ἅγιον Πνεῦμα, ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προερχόμενον, ὡς ὁ καρπὸς προέρχεται ἐκ τῆς ῥίζης καὶ τοῦ κλάδου, ὡς ὁ ποταμὸς ἐκ τοῦ ῥείθρου καὶ τῆς πηγῆς . . . Λέγων, ὅτι ὁ Πατήρ ἐστιν ἕτερος, ἢ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, λέγω τοῦτο ἐξ ἀνάγκης, ὅπως δείξω οὐ τὸ ἀνόμοιον, ἀλλὰ τὴν τάξιν, οὐ τὴν διαίρεσιν, ἀλλὰ τὴν διαφοράν. Ἔστιν ἕτερος κατὰ τὸ πρόσωπον, ἀλλ᾽ οὐ κατὰ τὴν οὐσίαν . . . ὁ Λόγος ἐν τῷ Πατρὶ ἀείποτε, ὡς εἴρηται: ἐ γ ὼ καὶ ὁ Π α τ ὴ ρ ἕ ν ἐ σ μ ε ν . . . οὐκ εἶπέν ε ἰ μ ι, ἀλλ᾽ ἐ σ μ ὲ ν· οὐκ εἶπεν ε ἷ ς ἐν ἀρσενικῷ γένει, ἀλλ᾽ ἓ ν ἐν οὐδετέρῳ, δηλ. μία οὐσία, ἀλλ᾽ οὐχ ἓν πρόσωπον. Ὅπως δείξῃ τὸ ἑνιαῖον τῆς οὐσίας, ἀλλ᾽ οὐ τοῦ προσώπου εἶπεν: ἐ γ ὼ ἐ ν τ ῷ Π α τ ρ ί, οὐχὶ δ᾽ ἐ γ ώ ε ἰ μ ι ὁ Π α τ ή ρ . . . . Οὐχ ἅπαξ, ἀλλὰ τρὶς καταδυόμεθα (ἐν τῷ βαπτίσματι) ἐν ἑκάστῳ ὀνόματι εἰς ἴδια πρόσωπα» (§ 2, 3, 8, 13, 26. κ.τ.λ.).

Μετὰ θαυμαστῆς δ᾽ ἐπιτηδειότητος ἀνασκευάζει τὸν Πραξέαν καὶ ἐπιβεβαιοῖ τὸ δόγμα τῆς Ἀποκαλύψεως. Πρῶτος τῶν Λατίνων διδασκάλων ὁ Τερτυλλιανὸς ὁρίζει τὴν περὶ τῆς ἁγίας Τριάδος διδασκαλίαν διὰ σαφῶν ἐκφράσεων, καὶ τοῦτο ποιεῖται μετ᾽ ἰδιαζούσης τέχνης. Ἀλλὰ τὸ πρῶτον δοκίμιον οὐκ ἠδύνατο εἶναι ἐλεύθερον ἐλλείψεων. Ὁ Τερτυλλιανὸς ἐκεῖ, ἔνθα ἰδίαις σκέψεσιν ἑρμηνεύει τὴν ἀποκεκαλυμμένην ἔννοιαν, οὐκ ἀείποτε ἐκφράζεται δεόντως. « Caeterum, λέγει, qui Filium non aliunde deduco, sed de substantia Patris, nihil facientem sine Patris voluntate, omnem a Patre consecutum potestatem, quomodo possum de fide destruere monarchiam, quam, a Patre Filio traditam, in Filio servo? Hoc mihi et in tertium gradum dic-

tum sit, quia spiritum non aliunde puto, quam a Patre per Filium» (§ 4). Ἔπειτα ἀποκρινόμενος εἰς τὴν ἔνστασιν, λέγει: «Hoc si qui putaverit me προβολὴν aliquam introducere, id est, prolationem rei alterius exaltera, quod facit Valentinus, alium atque alium Æonem de Æone producens; primo quidem dicam tibi, non ideo non utitur et veritas vocabulo isto, et re ac censu ejus, quia et hæresis potius et veritate accepit, quod ad mendacium suum strueret. Ploratus est Sermo Dei, an non? Hic mecum gradum fige. Si prolatus est, cognosce probolam veritatis, et viderit hæresis si quid de veritate imitata est. Jam nunc quæritur, quis quomodo utatur aliqua re, et vocabulo ejus. Valentinus probolas suas discernit et separat ab auctore; et ita longe ab eo ponit, ut Æon Patrem nesciat. Denique, desiderat nosse, nec potest, imo et pene devoratur, et dissolvitur in reliquam substantiam. Apud nos autem *Solus Filius Patrem novit*(Math. XI, 27) et *sinum Patris ipse exposuit* (Ioan. I, 18) . . . » (§ 8). Ἐνταῦθα ἡ ἔνστασις λύεται ὑπὲρ τῆς ἀληθείας. Οὐχ ἧττον ἄνευ ἀνάγκης γίγνεται χρῆσις τῆς ἐκφράσεως *deducere*, οὔτε ἁγιογραφικῆς, οὔτε ἐκκλησιαστικῆς οὔσης. Εἰς μάτην ὡσαύτως πρὸς ἐξήγησιν τοῦ Ὁμοουσίου τῶν προσώπων ἀναφέρει τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρός. Εἰ καὶ ἡ περὶ τοῦ ἁγίου Πνεύματος ἔννοια ἐνταῦθα οὐκ ἔστιν ἐκείνη, ἣν ἐν τοῖς μετὰ ταῦτα χρόνοις δι᾽ ὁμοίας ἐκφράσεως ἐννόουν ἐν τῇ Δύσει, ἀλλ᾽ ὅμως πολλῷ κάλλιον ἦν ἄν, εἰ ἐλέγετο ταῖς τοῦ Σωτῆρος λέξεσιν: «ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται».

ε) Τὰ κατὰ Μαρκίωνος πέντε βιβλία συνεγράφησαν μετὰ τὴν πτῶσιν αὐτοῦ (¹), ὡς καὶ τὸ κατὰ Πραξέου σύγγραμμα, καὶ πιθανώτατον τῷ ιέ. ἔτει τοῦ αὐτοκράτορος Σευήρου, ἤτοι τῷ 208 (²). Οὐχ ἧττον δέ ἐστι ἓν τῶν ἀρίστων συγγραμμάτων τοῦ Τερτυλλιανοῦ καὶ ἔξοχον ἐν τῷ εἴδει αὐτοῦ.

Εἰπὼν ἐν τῷ πρώτῳ βιβλίῳ, ὅτι τὸ δεύτερον ἤδη ἐπεξεργάζεται αὐτό, διότι τὸ συγγραφὲν τὸ πρῶτον, ὡς ἐλλιπές, ἐπιδιωρθώθη, τὸ

(¹) Advers Marcion. I, 29: «Sed et si natandi jam motus ponitur, quem quidem apud nos spiritualis ratio, Paracleto auctore, defendit, unum in fide matrimonium præscribens».

(²) Ibid I. 15.

δὲ ἐπιδιορθωθὲν ἡρπάγη ὑφ᾽ ἑνὸς κατόπιν ἀποστάτου (*), δείκνυσι κατὰ τῶν δύο ἀρχῶν τοῦ Μαρκίωνος τὸ ἑνιαῖον τοῦ Θεοῦ διὰ τῆς περὶ τοῦ ἀπολύτου ὄντος ἰδέας, καὶ τῆς περὶ τῆς ἀγαθότητος τοῦ Δημιουργοῦ τοῦ κόσμου ἐννοίας [**]. Πρὸς δὲ σημειοῖ, ὅτι τῆς Γραφῆς λεγούσης περὶ ὀργῆς καὶ ζήλου τοῦ Θεοῦ, οὐκ εἰκαστέον ἐκ τούτου, ὅτι εἰσὶν ἐν τῷ Θεῷ αἰσθήσεις ὅμοιαι ταῖς ἡμετέραις. Ἐν τῷ δευτέρῳ βιβλίῳ δείκνυσιν, ὅτι ὁ ἐν τῇ Δημιουργίᾳ καὶ ὑπὸ τῶν Προφητῶν τῆς Παλαιᾶς Διαθήκης ἀποκαλυφθεὶς Θεός, ἀείποτε ὁ αὐτός ἐστιν ἀληθῶς ἀγαθὸς καὶ δίκαιος, καὶ ἡ ἀγαθότης καὶ ἡ δικαιοσύνη οὐκ εἰσιν, ὡς ἐδόξαζεν ὁ Μαρκίων, ἄτοποι ἀντιθέσεις, ἀλλ᾽ ἀμφότεραι ἀναγκαίως ὀφείλουσιν εἶναι ἡνωμέναι ἐν τῇ οὐσίᾳ τοῦ Θεοῦ. Εἰς τοῦτο οὐδόλως ἀντιλέγει ἡ ἁμαρτία καὶ ἡ κακία ὡς καρπὸς τῆς

(*) Advers. Marcion. I, 1. «Novam rem aggredimur ex vetere. Primum opusculum quasi properatum pleniore postea compositione rescideram; hanc quoque nondum exemplariis suffectam fraude tunc fratris, dehinc apostatæ, amisi. . . . Ita stylus iste nunc de secundo tertius, et de tertio jam hinc primus hunc opusculi sui exitum necessariis præfatur. . . .».

[**] Ὁ Τερτυλλιανὸς κατακλείει τὸν ἀντίπαλον αὐτοῦ ἐν τῷ ἑξῆς διλήμματι: αἱ δύο συνθεότητές εἰσιν ἢ ἄνισοι ἢ ἴσαι· ἐν τῇ πρώτῃ περιπτώσει, ἡ τελειοτέρα ἔσται μόνη ἀξία τοῦ ὀνόματος τοῦ Θεοῦ· ἐν τῇ δευτέρᾳ, πῶς δυνάμεθα διακρῖναι αὐτάς, οὐδαμῶς διαφερούσας πρὸς ἑαυτάς; Ἡ ἀπόδειξις αὕτη περὶ τοῦ ἑνιαίου τοῦ Θεοῦ ἄγει αὐτὸν ποιήσασθαι μεγαλοπρεπῆ ὁρισμὸν τοῦ ὑψίστου Ὄντος: . . . Proinde Deus cum summum magnum sit, recte veritas nostra pronuntiavit: Deus si non unus est, non est. Non quasi dubitemus esse Deum, dicendo: Si non unus non est; sed quia quem confidimus esse, id eum definiamus esse quod si non est, Deus non est, summum scilicet magnum. Porro, summum magnum, unicum sit necesse est. Ergo et Deus unicus erit. Non aliter Deus, nisi summum magnum; nec aliter summum magnum, nisi parem non habens; nec aliter parem non habens, nisi unicus fuerit. Certe quemcumque alium Deum induxeris, non alia poteris eum forma tueri Deum quam ut et illi proprium divinitatis adscripseris, sicut aeternum, et summum magnum. Duo ergo summa magna, quomodo consistent, cum hoc sit summum magnum, par non habere?» (c. III). Πρβλ. καὶ cap. X. καὶ Ἀπολογητ. cap. XVII. Σ. Μ.

δημιουργηθείσης ἐλευθερίας. Ἐν τῷ τρίτῳ βιβλίῳ δείκνυσιν, ὅτι ὁ Ἰησοῦς Χριστός, κατὰ τὴν ἰδίαν μαρτυρίαν, ἐστὶν αὐτὸς ἐκεῖνος, ὃν προκατήγγειλαν οἱ Προφῆται, καὶ ἑπομένως ὁ Υἱὸς τοῦ Θεοῦ ἐστιν αὐτὸς ἐκεῖνος ὁ Θεός, ὁ ἐν τῇ Παλαιᾷ Διαθήκῃ φανερωθείς. Ἐν τῷ τετάρτῳ καὶ πέμπτῳ βιβλίῳ ἐξετάζει τὸν κανόνα τῶν βιβλίων τοῦ Μαρκίωνος, καὶ διασαφεῖ τὰς δοκούσας ἐκείνας ἀντιφάσεις, ἃς εὕρισκεν ὁ Μαρκίων μεταξὺ τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης.

Τὰ δυσχερέστατα τῶν ζητημάτων περὶ τοῦ ἑνιαίου τοῦ Θεοῦ, περὶ τῶν ἰδιοτήτων αὐτοῦ, περὶ τῆς γενέσεως τοῦ κακοῦ, περὶ τῆς Θείας ἐνανθρωπήσεως, λύει ὁ Τερτυλλιανὸς κατ' ἐξαίρετον τρόπον. Τὰ τελευταῖα δύο βιβλία εἰσὶ τὰ μάλιστα ἄξια περιεργείας ὑπὸ ἑρμηνευτικὴν ἅμα καὶ κριτικὴν ἔποψιν θεωρούμενα ([1]).

§ 83. γ'.) *Ἠθικὰ συγγράμματα·*

περὶ μετανοίας, περὶ προσευχῆς, περὶ θεαμάτων.

Εἰς τὰ ἠθικὰ τοῦ Τερτυλλιανοῦ συγγράμματα ἀνάγονται ά.] τὸ βιβλίον *de poenitentia* (περὶ μετανοίας), συγγραφὲν ἐν τοιούτῳ ζωηρῷ καὶ σαφεῖ ὕφει, ἐν οἵῳ οὐδὲν τῶν συγγραμμάτων αὐτοῦ. Κατ' ἀρχὰς ποιεῖται λόγον περὶ τοῦ ἀναγκαίου τῆς μετανοίας καθόλου (§ 1.) [*] ἔπειτα διακρίνας τὴν πρὸ τοῦ βαπτίσματος τελουμένην μετάνοιαν ἐκείνης, ἣν ὑφίστανται οἱ μετὰ τὸ βάπτισμα πεσόντες, ἀπελέγχει ἐντόνως τοὺς κατηχουμένους ἐκείνους, ὅσοι διέρχονται ἀμε-

---

([1]) Περὶ τοῦ κανόνος τῆς Κ. Διαθήκης ἴδ. lib. IV. c. 2. lib. V. c. 2, 5, 11, 17, 21.

[*] Ἐν τῷ προοιμίῳ ὑπάρχει ὕφος εἰλικρινοῦς ταπεινοφροσύνης, ὅπερ ἐπαναφέρει ἡμᾶς εἰς τὰ πρῶτα ἔτη τοῦ ἱερατικοῦ σταδίου τοῦ Τερτυλλιανοῦ, ὅτε οὐδὲν ἔτι νέφος ἐτάραξε τὴν γαλήνην τῆς πίστεως αὐτοῦ. Παρὰ τῆς Θείας χάριτος προσδοκᾷ τὴν ἀναγκαίαν συνδρομὴν πρὸς ἐκτέλεσιν τῆς ἀρετῆς. Ὁ Θεὸς ἐστιν αὐτῷ ἡ πηγὴ παντὸς ἀγαθοῦ, καὶ ἡ ἁγιωσύνη, ὑφ' οἵαν δήποτε μορφὴν καὶ ἂν ἐκφέρηται, ἐστὶ παρωνυμία τῆς ἐξῆς ἀρχῆς τῆς ὄντως ἐνεργοῦ· ἀπιστεῖν ταῖς οἰκείαις δυνάμεσι καὶ τιθέναι παρὰ τῷ Θεῷ ἅπασαν τὴν πεποίθησίν, ἐστὶν ἡ πρώτη λέξις τῆς εὐαγγελικῆς ἠθικῆς, ἧς ἡ ταπεινοφροσύνη χρησιμεύει ὡς ἡ πρώτη βάσις Σ. Μ.

λῶς τὸν πρὸ τοῦ βαπτίσματος χρόνον ἐπὶ τῇ ἐλπίδι τοῦ λαβεῖν ἄφεσιν ἐν τῷ βαπτίσματι (§ 2—6). Μετὰ ταῦτα μεταβαίνει εἰς τὴν μετὰ τοῦτο μετάνοιαν, καὶ λέγει, ὅτι ἐπεθύμει μηδαμῶς εἶναι αὐτὴν ἀναγκαίαν τοῖς χριστιανοῖς. Ὁ Θεός, λέγει, γιγνώσκων τὴν κακίαν καὶ πανουργίαν τοῦ διαβόλου, καίπερ τοῦ βαπτισθέντος μὴ δυναμένου προσδοκᾷν ἕτερον βάπτισμα, ἔδωκε τῷ χριστιανῷ ἔτι τὴν μετάνοιαν, ὡς μέσον τοῦ καθαίρειν τὴν ψυχὴν αὐτοῦ ἐκ τῶν ἀκαθαρσιῶν τῆς ἁμαρτίας. Ἡ μετάνοια αὕτη οὐδόλως ἤδη περιορίζεται εἰς μόνην τὴν συνείδησιν, ἀλλ' ὀφείλει δηλοῦσθαι καὶ ἐν ταῖς ἐξωτερικαῖς πράξεσιν. Ἡ μετάνοιά ἐστιν αὐτὸ ἐκεῖνο, ὅπερ ἑλληνιστὶ καλεῖται ἐ ξ ο μ ο λ ό γ η σ ι ς, ἧς σκοπός ἐστιν ἡ ταπείνωσις τοῦ ἀνθρώπου. Εἶτα περιγράφει τοὺς ἀγῶνας ταύτης τῆς μετανοίας. Τέλος ἐλέγχει τοὺς ἀναβάλλοντας τὴν μετάνοιαν αὐτῶν ἤτοι ἕνεκα ψευδοῦς αἰδοῦς, ἢ ἐκ φόβου τῶν δυσχερῶν τῆς μετανοίας ἀγώνων.

β'.] Τὸ βιβλίον de *oratione* (περὶ προσευχῆς). Τὸ βιβλίον τοῦτο διὰ τὴν εὐνοϊκὴν περὶ τῆς βίβλου τοῦ Ἑρμᾶ Ποιμὴν κρίσιν, κατὰ τὰς περὶ τοῦ χρόνου τῆς προσευχῆς καὶ τῆς νηστείας ἰδέας φαίνεται ὂν ἔργον τοῦ Τερτυλλιανοῦ, ὀρθοδόξου ἔτι ὄντος. Μετὰ βραχεῖαν εἰσαγωγὴν περὶ τοῦ ἐξόχου τῆς Κυριακῆς προσευχῆς ποιεῖται ἀρίστην ἑρμηνείαν αὐτῆς. Ἐν δὲ τῷ δευτέρῳ ἡμίσει δίδονται κανόνες περὶ τοῦ τρόπου τοῦ προπαρασκευάζεσθαι εἰς τὴν προσευχήν. Τέλος ψέγονται συνήθειαί τινες ἐκ δεισιδαιμονίας προερχόμεναι, οἷα π. χ. τὸ μὴ μεταλαμβάνειν ἐπὶ τῷ μὴ καταλῦσαι τὴν νηστείαν, καὶ ἄλλα παρόμοια [α].

[α] Ἐκ τοῦ λόγου τούτου μανθάνομεν, ὅτι παρὰ τοῖς συγχρόνοις τῷ Τερτυλλιανῷ χριστιανοῖς ἡ Κυριακὴ προσευχὴ προηγεῖτο πασῶν τῶν ἄλλων· ὅτι ὑπῆρχον κοιναὶ τοῖς πᾶσι νηστεῖαι, καὶ ἄλλαι ἀφιέμεναι τῇ εὐσεβείᾳ ἑκάστου· ὅτι ἐπετρέπετο ἔσθ' ὅτε τοῖς πιστοῖς λαμβάνειν μεθ' ἑαυτῶν τὴν ἁγίαν Εὐχαριστίαν· ὅτι οἱ χριστιανοὶ προσηύχοντο γονυπετεῖς, ἐξαιρουμένων τῶν Κυριακῶν εἰς σημεῖον χαρᾶς, ὅτι ἐποίουν τοῦτο τρὶς τῆς ἡμέρας, κατὰ τὴν τρίτην, τὴν ἕκτην καὶ τὴν ἐννάτην ὥραν· ὅτι προσηύχοντο ἐκτείνοντες τὰς χεῖρας εἰς σχῆμα σταυροῦ. Οὐδενὸς τῶν ἐκκλησιαστικῶν συγγραφέων τὰ συγγράμματα παρέχουσι πολυτιμοτέρας εἰδήσεις διὰ τὴν χριστιανικὴν ἀρχαιολογίαν. Σ. Μ.

γ'] Τὰ δύο βιβλία πρὸς τὴν γυναῖκα αὐτοῦ. Τὰ βιβλία ταῦτα ἔγραψε τῇ γυναικὶ αὐτοῦ, ἵνα χρησιμεύσωσιν αὐτῇ ὡς διαθήκη. Τὸ σύγγραμμα δὲ τοῦτό ἐστιν ὑπὲρ πᾶν ἄλλο ἀσύμφωνον τῷ μοντανισμῷ (1). Ἐν τῷ πρώτῳ συμβουλεύει τῇ συζύγῳ αὐτοῦ μὴ ἐλθεῖν μετὰ τὸν θάνατον αὐτοῦ εἰς δευτέραν γάμου κοινωνίαν, καὶ ἐπιδοκιμάζει τήν τε χηρείαν καὶ τὴν παρθενίαν ῥήσεσι τοῦ Ἀποστόλου. Ἐν τῷ δευτέρῳ λέγει, ὅτι ἡ γυνὴ αὐτοῦ οὐκ ὀφείλει συζευχθῆναι ἀνδρὶ ἐθνικῷ, εἰς δεύτερον γάμον βουλομένη ἐλθεῖν, καὶ ζωηρῶς διαγράφει τὰ ἐκ τοῦ τοιούτου γάμου προελευσόμενα κωλύματα τῇ χριστιανικῇ αὐτῆς πολιτείᾳ. Περὶ τοῦ γάμου διδάσκει: «Ὁ γάμος ἐστὶ μέγα μυστήριον, ὅπερ συνάπτει ἡ Ἐκκλησία, καὶ βεβαιοῖ ἡ προσφορά, καὶ ἐπισφραγίζει ἡ εὐλογία, ἀναγγέλλουσιν οἱ ἄγγελοι, ἐπικυροῖ ὁ Πατήρ» «. . . . . matrimonii, quod Ecclesia conciliat, et confirmat oblatio, et obsignat benedictio, angeli renuntiant, Pater rato habet» (2).

Τὸ σύγγραμμά ἐστι πάνυ σπουδαῖον διά τε τὸ εὐσεβὲς αὐτοῦ πνεῦμα καὶ τὴν περιγραφὴν πολλῶν ἱερῶν τελετῶν τῶν χρόνων τοῦ Τερτυλλιανοῦ.

δ'] Τὸ βιβλίον de *Spectaculis* (περὶ θεαμάτων). Τῇ νίκῃ τοῦ Σεπτιμίου Σευήρου κατὰ τῶν στασιαστῶν τῆς Αὐτοκρατορίας (τῷ 198) ἠκολούθησαν δημόσια παίγνια ἔν τε τῇ Ῥώμῃ καὶ ἐν ταῖς ἐπαρχίαις. Τῶν Χριστιανῶν τινες οὐκ ἠδύναντο κωλῦσαι ἑαυτοὺς τοῦ συμμετασχεῖν τῶν μεγαλοπρεπῶν τούτων ἑορτῶν. Ἡ θρησκεία, ἔλεγον, ἐστὶν ἐν τῇ συνειδήσει καὶ τῇ καρδίᾳ· οὐδὲν ἀπόλλυσι, τῶν ὀφθαλμῶν καὶ τῶν ὤτων ἀπολαυόντων ἡδονῆς τινος [*]. Ὁ Τερτυλλιανός, ὀρθόδοξος τότε ὤν, ἠγέρθη κατ' αὐτῶν μετὰ φλογεροῦ ζήλου. Οὐδέποτε, λέγει, ἐπιτρέπει τῷ χριστιανῷ ἡ θρησκεία αὐτοῦ μετέχειν τοιούτων ἑορτῶν. Λαμβάνουσαι ἐκ τοῦ ἐθνισμοῦ τὴν ἀρχήν, ἔχουσι μετ' αὐτοῦ καὶ στενὸν σύνδεσμον κατά τε τὸ πνεῦμα καὶ τὴν

(1) Lib. I. c. 3. II. c. 2. ad Uxorem.

(2) Lib. II. c. 9.

[*] Ὁ δυσώνυμος Κέλσος ἔλεγε τοῖς χριστιανοῖς: «Ὅγε μὴν Θεὸς ἅπασι κοινός, ἀγαθός τε καὶ ἀπροσδεὴς καὶ ἔξω φθόνου· τί οὖν κωλύει τούς μάλιστα καθωσιωμένους αὐτῷ καὶ τῶν δημοτελῶν ἑορτῶν μεταλαμβάνειν;» (παρ' Ὠριγ. ἐν τῷ κατὰ Κέλσ. βιβλ. η, κεφ. 21). Σ. Μ.

ἐξωτερικὴν μορφήν. Τὸ μετέχειν αὐτῶν ἐστιν εἶδος πλαγίας εἰδωλολατρείας· πρὸς δὲ τούτοις ἡ ἐξασθένησις τῆς χριστιανικῆς εὐταξίας καὶ τοῦ πνεύματός ἐστιν ἀναγκαῖον αὐτῶν ἐπακολούθημα. Ἐν τῷ ταράχῳ τοῦ ἱπποδρόμου καὶ τοῦ θεάτρου, ἔνθα πάντα συμβάλλονται πρὸς διέγερσιν τῶν παθῶν, ὁ χριστιανὸς ἀδυνατεῖ τηρῆσαι τὴν ἠρεμίαν αὐτοῦ καὶ ἄκοντος διασκεδαζομένην· ἡ καρδία μολύνεται ἐκεῖ, ἔνθα μόνον ἀναίδειαι καὶ ἀκαθαρσίαι. «Εἰ πᾶσα ἀκαθαρσία λογιστέα ἡμῖν ὡς βδέλυγμα, πῶς δυνάμεθα ἀκροᾶσθαι ἐκεῖνα, ἅτινα οὐδὲ λέγειν ἐτολμήσαμεν ἄν, γιγνώσκοντες, ὅτι πᾶν ῥῆμα ἀργόν, ὃ ἐὰν λαλήσωμεν, ἀποδώσομεν περὶ αὐτοῦ λόγον τῷ Θεῷ; Μόνον ἀκατάληπτος ἀμνημοσύνη δύναται καταφρονεῖν τοιούτων ὑψηλῶν παραμυθιῶν, οἵας παρέχει τῷ χριστιανῷ ἡ πίστις αὐτοῦ.

Ἐννοεῖται, ὅτι μετ' οὐ πολλὰς μεταλλαγὰς ἅπαν τοῦτο τὸ σύγγραμμα δύναται ἀνενεχθῆναι πρὸς τὰς θεατρικὰς τέρψεις τῶν καθ' ἡμᾶς θεάτρων [*].

§ 84. *Κλήμης ὁ Ἀλεξανδρεύς· βίος αὐτοῦ.*

Ἐν τῷ τέλει τοῦ δευτέρου αἰῶνος ἐμόχθησεν ὑπὲρ τῆς πίστεως ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἀλεξανδρείας ἀνήρ, τῶν περικλεῶν διδασκάλων τῆς πόλεως ταύτης ἡγησάμενος καὶ τὰ μάλιστα συντελέσας εἰς τὴν ἐκπαίδευσιν τῶν συγχρόνων αὐτῷ. Οὗτος ἦν Κλήμης ὁ Ἀλεξανδρεύς, γεννηθεὶς καὶ ἀνατραφεὶς ἐν τῷ ἐθνισμῷ καὶ πιθανῶς ἐν Ἀθήναις (1). Νέος ἔτι ὢν ἐπαιδεύθη πᾶσαν τὴν ἑλληνικὴν

[*] Ἠδύνατό τις ἐρωτῆσαι ἔτι καὶ νῦν: «An ille recogitabit eo tempore de Deo, positus illic, ubi nihil est de Deo? Pudicitiam discet, attonitus in minos? imo in omni spectaculo nullum magis scandalum occurret, quam ille ipse mulierum et virorum accuratior cultus, ipsa consensio, ipsa in favoripus aut conspiratio aut dissensio inter se de commercio scintillas libidinum conflabellant. Avertat a Suis Deus tantam voluptatis exitiosæ cupiditatem! Quale est enim de ecclesia Dei in Diaboli ecclesiam tendere, de cœlo, quod ajunt, in cœnum? illas manus, quas ad Deum extuleris, postmodum laudando histrionem fatigare, etc. c. 25. Σ. Μ.

(1) Ἐπιφάν. κατὰ αἱρέσ. λς' κεφ. 6. «Εἶτα οἱ καλῶς συγγραψάμενοι, καὶ ἀλήθειαν τούτων ἐν τοῖς σφῶν αὐτῶν συγγράμμασιν ἤλεγξαν, Κλή-

σοφίαν, καὶ δὴ καὶ ἐμυήθη τὰ ἑλληνικὰ μυστήρια. Καὶ οὗτος, ὡς ὁ ἅγιος Ἰουστῖνος, ἠγάπα καὶ ἐζήτει τὴν ἀλήθειαν. Ἀλλὰ πᾶν ὅ,τι εἶδεν ἐν τῇ ἑλληνικῇ φιλοσοφίᾳ οὐκ ἐξήρκεσεν αὐτῷ, ὡς καὶ τῷ ἁγίῳ Ἰουστίνῳ. Τέλος γνοὺς τὴν ἀλήθειαν τοῦ Χριστοῦ, κατέλιπε τὴν ἐθνικὴν δεισιδαιμονίαν (1). καὶ ἐσπούδασε κτήσασθαι τελείαν καὶ ἀκριβῆ γνῶσιν τοῦ χριστιανισμοῦ. Πρὸς τοῦτο, ὡς αὐτὸς γράφει, περιηγήθη τὴν μεσημβρινὴν Ἰταλίαν, τὴν Ἑλλάδα, τὴν Συρίαν καὶ τὴν Παλαιστίνην, καὶ ἔσχε τὴν εὐτυχίαν ἀκροάσασθαι μαθητῶν τινῶν τῶν Ἀποστόλων (*). Μάλιστα δὲ πάντων ἤρεσεν αὐτῷ ἐκεῖνος, ὃν εὗρεν ἐν Αἰγύπτῳ: «ὑστάτῳ δὲ περιτυχὼν (δυνάμει δὲ οὗτος πρῶτος ἦν), ἀνεπαυσάμην ἐν Αἰγύπτῳ θηράσας λεληθότα. Σικελικὴ τῷ ὄντι ἡ μέλιττα· προφητικοῦ τε καὶ ἀποστολικοῦ λειμῶνος τὰ ἄνθη δρεπόμενος, ἀκήρατόν τι γνώσεως χρῆμα ταῖς τῶν ἀκροωμένων ἐνεγέννησε ψυχαῖς» (2). Οὗτος ἦν Πάνταινος, ὁ τοῦ ἐν Ἀλεξανδρείᾳ κατηχητικοῦ διδασκαλείου διδάσκαλος (3). Ὁ Κλήμης ἔμεινεν ἐν Ἀλεξανδρείᾳ καὶ ἦν τὸ μὲν πρῶτον μαθητὴς τοῦ Πάντ-

---

μης τε, ὃν φασί τινες Ἀλεξανδρέα, ἕτεροι δὲ Ἀθηναῖον». Ἡ πρώτη ὀνομασία τῶν ἀρχαίων ἀείποτε ἑνοῦται τῷ ὀνόματι *πρεσβύτερος*, καὶ ἑπομένως ἡ τελευταία ἀναφέρεται εἰς τὸν τόπον τῆς γεννήσεως.

(1) Εὐσ. Εὐαγγελ. Προπαρ. βιβλ. β', κεφ. 2. «Ταῦτα δὲ Κλήμης ὁ θαυμάσιος ἐν τῷ *πρὸς Ἕλληνας προτρεπτικῷ* διαρρήδην ἐκκαλύπτει, πάντων μὲν διὰ πείρας ἐλθὼν ἀνήρ, θᾶττόν γε μὴν τῆς πλάνης ἀνανεύσας, ὡς ἂν πρὸς τοῦ σωτηρίου λόγου καὶ διὰ τῆς εὐαγγελικῆς διδασκαλίας τῶν κακῶν λελυτρωμένος».

(*) Στρωμ. Ά. α. σελ. 322. «Ἀλλ' οἱ μὲν τὴν ἀλήθειαν τῆς μακαρίας σῴζοντες διδασκαλίας παράδοσιν, εὐθὺς ἀπὸ Πέτρου τε καὶ Ἰακώβου, Ἰωάννου τε καὶ Παύλου, τῶν ἁγίων Ἀποστόλων, παῖς παρὰ Πατρὸς ἐκδεχόμενος (ὀλίγοι δὲ οἱ Πατράσιν ὅμοιοι), ἧκον δὲ σὺν Θεῷ καὶ εἰς ἡμᾶς τὰ προγονικὰ ἐκεῖνα καὶ ἀποστολικὰ καταθησόμενοι σπέρματα».

(2) Στρωμ. βιβλ. Ά. α. 322, 323.

(3) Πάνταινος, ὁ τῶν μαθητῶν τῶν Ἀποστόλων ἀκροατὴς καὶ τοῦ Κλήμεντος διδάσκαλος, (Εὐσ. ἐκκλ. ἱστορ. ϛ'. 13. χρον. Ἀλέξ. σελ. 7. Φώτ. βιβλ. ἀνάγν. ριη'.) ἦν διδάσκαλος τοῦ ἐπὶ Κομμόδου ἀκμάζοντος διδασκαλείου ἀπὸ τοῦ 180 (Εὐσ. έ. 9—11. Νικηφ. δ'. 32). ἴδ. περὶ αὐτοῦ ἐν τῇ γενικῇ ἐπιθεωρήσει σημ. 24.

αίνου, ἔπειτα δ' ἐγένετο κοινωνὸς τῶν κόπων τοῦ διδασκάλου αὐτοῦ ἐν τῷ αὐτόθι διδασκαλείῳ. Ὅτε δ' ἀπεστάλη ὁ Πάνταινος εἰς Ἰνδίας κηρύξων τὸ Εὐαγγέλιον, διεδέξατο αὐτὸν ὁ Κλήμης [1], καὶ πιθανῶς τότε προὐχειρίσθη εἰς πρεσβύτερον. Ἐδίδασκε μετὰ θαυμασίας τέχνης συμμορφούμενος ἀείποτε τῇ διανοητικῇ ἀναπτύξει τῶν ἀκροατῶν αὐτοῦ [2] Τῷ 190 συνέταξε τὸν Προτρεπτικὸν πρὸς Ἕλληνας, ἔπειτα δὲ διὰ τοὺς κατανοήσαντας τὴν πλάνην τοῦ ἐθνισμοῦ, καὶ ἐφιεμένους ἀκροάσασθαι τῶν διδασκαλιῶν τῆς ἀληθείας, συνέγραψε τὸν Παιδαγωγόν, ἀποδεικνύντα, ὅτι μόνος ὁ Λόγος — ὁ Υἱὸς τοῦ Θεοῦ, ἐστιν ὁ διδάσκαλος [3]. Τῷ 193—194 ὁπότε, ὡς αὐτὸς λέγει, κατέλαβεν αὐτὸν τὸ γῆρας, ἔγραψε τὸ μέγα σύγγραμ-

---

(1) Ὁ Εὐσέβιος (ἐκκλ. ἱστορ. ϛ΄. 6.) λέγει: «Πάνταινον δὲ Κλήμης διαδεξάμενος, τῆς κατ' Ἀλεξάνδρειαν Κατηχήσεως εἰς ἐκεῖνο τοῦ καιροῦ, καθηγεῖτο, ὡς καὶ τὸν Ὠριγένην τῶν φοιτητῶν γενέσθαι αὐτοῦ. Τὸ αὐτὸ λέγει καὶ ὁ Φώτιος: «Κλήμεντα δὲ Πανταίνου γενέσθαι λέγουσι καὶ ἀκροατὴν καὶ τοῦ διδασκαλείου διάδοχον» (ἀνάγν. ριή.). Ὁ Ἱερώνυμος λέγει, ὅτι ὁ Κλήμης ἐγένετο διδάσκαλος μετὰ τὸν θάνατον τοῦ Πανταίνου: «Clemens Alexandrinæ Ecclesiæ presbyter, Pantaeni, de quo supra retulimus, auditor, post éjus mortem Alexandriæ ecclesiasticam scholam tenuit, et Κατηχήσεων magister fuit» (de vir. illustr. c. XXXVIII). Ἀλλ' ἐπειδὴ ὁ πρεσβύτερος Γάϊος ἔτι πρὸ τοῦ 192 κατέτασσε τὸν Κλήμεντα ἐν τοῖς διδασκάλοις τῆς Ἐκκλησίας (Εὐσέβ. ἐκκλ. ἱστ. έ. 28.), ὑποθετέον, ὅτι μετὰ τὴν εἰς Ἰνδίας ἀναχώρησιν τοῦ Πανταίνου (Ἱερών. αὐτόθ.) παρεδόθη προσκαίρως τῷ Κλήμεντι τὸ ἔργον τοῦ διδασκάλου. Ἴδ. ἐν τῇ γεν. ἐπιθεωρ. σημ. 24.

(2) Στρωμ. Ά. α. σελ. 324.

(3) Φώτ. ἀνάγν. ρι΄. «Ὁ δὲ Παιδαγωγὸς ἐν τρισὶ τόμοις ἐστὶν αὐτῷ διαπεπονημένος, ἤθους καὶ βίου κατορθωτικός, ἔχει δὲ τούτων καὶ προηγούμενον καὶ συνταττόμενον λόγον ἕτερον, ἐν ᾧ τὴν Ἑλλήνων διελέγχει ἀθεότητα». Εὐσέβ. ἐκκλ. ἱστορ. ϛ΄. 13. Στρωμ. ϛ΄. κεφ. 1. «Φθάσας δὲ ὁ Παιδαγωγὸς ἡμῖν ἐν τρισὶ διαιρούμενος βίβλοις, τὴν ἐκ παίδων ἀγωγήν τε καὶ τροφὴν παρέστησε, τουτέστιν ἐκ Κατηχήσεως συναύξουσαν τῇ πίστει πολιτείαν, καὶ προπαρασκευάζουσαν τοῖς εἰς ἄνδρας ἐγγραφομένοις ἐνάρετον τὴν ψυχήν, εἰς ἐπιστήμης γνωστικῆς παραδοχήν».

μα—Στρωματεῖς [1]. Τῷ 202 ἐξερράγη καὶ ἐν Ἀλεξανδρείᾳ ὁ ὑπὸ τοῦ Σεπτιμίου Σευήρου ἐγερθεὶς διωγμός. Ὁ Κλήμης καὶ πρὸ αὐτοῦ ἔθηκεν ἀναγκαῖον κανόνα μὴ ἐπιδιώκειν, ἀλλ' ἀποφεύγειν, ὅση δύναμις, τοὺς κινδύνους συνῳδὰ τοῖς λόγοις τοῦ Σωτῆρος [2]. Νῦν δὲ ἥ τε ἐπισημότης καὶ τὰ κατορθώματα τοῦ Κλήμεντος κατέστησαν αὐτὸν κυρίαν ἀφορμὴν τοῦ μίσους τῶν ἐθνικῶν, ἐλεγχομένων ὑπ' αὐτοῦ λόγῳ τε καὶ γραφῇ. Διὸ ἠναγκάσθη κρυβῆναι φεύγων τὴν κακίαν τῶν διωκτῶν [3]. Ἡ ζωὴ αὐτοῦ ἦν ὄντως ἀναγκαία τοῖς πιστοῖς, ὡς τοῦτο ὡμολόγησαν οἱ σύγχρονοι. Τῷ 211 ὁ μαθητὴς αὐτοῦ ἅγιος Ἀλέξανδρος ὁ Καππαδοκίας, ἀποστέλλων δι' αὐτοῦ ἐκ τοῦ δεσμωτηρίου ἐπιστολὴν τῷ νέῳ τῆς Ἀντιοχείας ἐπισκόπῳ, ἔγραφε περὶ αὐτοῦ: «Ταῦτα δὲ ἡμῖν, κύριοί μου ἀδελφοί, τὰ γράμματα ἀπέστειλα διὰ Κλήμεντος τοῦ μακαρίου πρεσβυτέρου, ἀνδρὸς ἐναρέτου καὶ δοκίμου, ὃν ἴστε καὶ ὑμεῖς καὶ ἐπιγνώσεσθε, ὃς καὶ ἐνθάδε παρὼν κατὰ τὴν πρόνοιαν καὶ ἐπισκοπὴν τοῦ Δεσπότου ἐπεστήριξέ τε καὶ ηὔξησε τὴν τοῦ Κυρίου Ἐκκλησίαν» [4].

---

(1) Τὸ πρῶτον βιβλίον τοῦ συγγράμματος περαίνει τὴν ἀπαρίθμησιν τῶν ῥωμαίων Αὐτοκρατόρων τῷ θανάτῳ τοῦ Κομμόδου (τῷ 192). Ἐντεῦθεν ὁ Εὐσέβιος δικαίως συνεπέρανεν, ὅτι ὁ Κλήμης ἔγραφε τὸ σύγγραμμα τοῦτο ἐν τῇ ἀρχῇ τῆς τοῦ Ἀλεξάνδρου Σευήρου διοικήσεως. Ὁ Κλήμης: «. . . Τὸ ἀσθενὲς τῆς μνήμης τῆς ἐμῆς ἐπικουφίζων, κεφαλαίων συστηματικὴν ἔκθεσιν, μνήμης ὑπόμνημα σωτήριον πορίζων ἐμαυτῷ, ἀναγκαίως κέχρημαι τῇδε τῇ ὑποτυπώσει». Βιβλ. Ά. σελ. 274. 276.

(2) Στρωμ. Δ. δ. σελ. 571. 2. ιά. σελ. 871.

(3) Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 1, 3.

(4) Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 11. Hieron. de vir. illustr. c. 38. Ὁ Ἀλέξανδρος οὐκ ἦν ἔτι τότε ἐπίσκοπος Ἱεροσολύμων, ὡς τοὐναντίον λέγουσιν ὁ *Καβέος* καὶ *Ἔσλερος*· διότι ἐπίσκοπος Ἱεροσολύμων κατέστη, οἷα ταῖς ὑπὲρ Χριστοῦ διαπρέψας ὁμολογίαις, μετὰ τὴν ἐπὶ Καρακάλλα (τῷ 212) εἰς Ἱερουσαλὴμ ἄφιξιν αὐτοῦ»· μέχρι δὲ τούτου τοῦ χρόνου ἐκαλεῖτο ἐπίσκοπος Καππαδοκίας (Εὐσ. ς'. 8. 11. περὶ τοῦ ἁγίου Ἀλεξάνδρου ἴδ. Routh. rel. Sacr. 2·36—50). Ἐντεῦθεν κατάδηλον, ὅτι ὁ Κλήμης ηὔξησε τὴν ἐν Καππαδοκίᾳ Ἐκκλησίαν, καὶ πιθανόν, ὅτι ἐκεῖσε πρὸς τὸν ἀγαπητὸν μαθητὴν (σημ. 11.) ἀνεχώρησεν ἐξ Ἀλεξανδρείας.

Ὁ Ἱερώνυμος λέγει ([1]), ὅτι ὁ μακάριος Κλήμης ἤνθησεν ἐπὶ τοῦ Σευήρου καὶ τοῦ Καρακάλλα, καὶ διὰ τοῦτο πιθανόν, ὅτι ἐτελεύτησε τῷ 217 ([2])·

§ 85. *Συγγράμματα αὐτοῦ:*
Λόγος προτρεπτικὸς πρὸς Ἕλληνας, Παιδαγωγός.

Ὁ Κλήμης κατέλιπεν οὐκ ὀλίγα συγγράμματα ([3]).

Ὁ Προτρεπτικὸς πρὸς Ἕλληνας δείκνυσι μετὰ θαυμαστῆς πολυμαθείας, ὅτι ἡ ἐθνικὴ θρησκεία,—οἱ χρησμοὶ δηλονότι αὐτῆς καὶ ἡ τῶν θεῶν ἱστορία,—ἐστὶ βλαβερὸν πλάσμα καὶ ματαιότης. Ἀρχόμενος ἐκ τῆς ἐννοίας, ὅτι ἡ χριστιανικὴ θρησκεία, οὐχὶ δὲ ὁ Ὀρφεύς, ποιεῖ ἀνθρώπους ἐκ λίθων, τίθησιν ὡς θεμέλιον αὐτῆς τὴν παντοδυναμίαν τοῦ Λόγου: «Ἀλλ' ὅτι μέν, λέγει, ἦν ὁ Λόγος ἄνωθεν, ἀρχὴ θεία τῶν πάντων ἦν τε καὶ ἔστιν· ὅτι δὲ νῦν ὄνομα ἔλαβε τὸ πάλαι καθωσιωμένον, δυνάμεως ἄξιον ὁ Χριστός, καινὸν ᾆσμά μοι κέκληται. Οὗτος γοῦν ὁ Λόγος ὁ Χριστός, καὶ τοῦ εἶναι πάλαι ἡμᾶς (ἦν γὰρ ἐν Θεῷ), καὶ τοῦ εὖ εἶναι, νῦν δὴ ἐπεφάνη ἀνθρώποις αὐτὸς οὗτος ὁ Λόγος, ὁ μόνος ἄμφω, Θεός τε καὶ ἄνθρωπος, ἁπάντων ἡ-

([1]) De vir. illustr. c. 38.

([2]) Ἐν τῷ μαρτυρολογίῳ τοῦ Οὐσουάρδου, (ἐκδοθέντι ἐξ ἀντιγράφου τοῦ 864), τὸ ὄνομα τοῦ Κλήμεντος τέθειται ἐν τοῖ ἁγίοις κατὰ τὴν δ'. Δεκεμβρίου. Ἴδ. Leben - Väter und Märtyrer von *Veis* 13.17.5 547. Ἐκ τῶν ὑπομνημάτων οὐ γίγνεται δῆλον, ὅτι ἡ ἑλληνικὴ Ἐκκλησία ἑώρταζέ ποτε τὴν μνήμην τοῦ Κλήμεντος ἐν τοῖς ἁγίοις, ἀλλὰ τὰ μάλιστα ἐσέβοντο αὐτόν.... ὁ ἅγιος Ἀλέξανδρος ὁ Ἱεροσολύμων ἐκάλει αὐτόν, ἀποθανόντα ἤδη, *ἱερὸν* (παρ' Εὐσέβ. ς'. 14 καὶ 11), *μακάριον πρεσβύτερον, ἄνδρα ἐνάρετον καὶ δόκιμον*, καὶ ἔλεγεν, ὅτι ἐβοήθησεν αὐτῷ ἐν τῷ ἔργῳ τῆς κλήσεως αὐτοῦ, εἴπερ τις καὶ ἄλλος. Ἐν τῷ ἀλεξανδρ. χρον. ἀναγινώσκομεν: «Κλήμης ὁ ὁσιώτατος τῆς Ἀλεξανδρέων Ἐκκλησίας γεγονὼς ἱερεύς, ἀνὴρ ἀρχαιότατος, καὶ οὐ μακρὰν τῶν ἀποστολικῶν γενόμενος χρόνων». Ὁ Θεοδώρητος (αἱρετ. κακομ. Α. 6.) καλεῖ αὐτὸν *ἱερὸν ἄνδρα*.

([3]) Αἱ ἄρισται τῶν ἐκδόσεών εἰσι α'] Clementis. Alex. Op. Omnia Græce et latine, ed Joh. Potter, Oxoniæ, 1715, Venet. 1757. Wiseburg. 1778-89. β] Op. omn. Gr. lat. edit. Klotz. Lipsiæ 1831-32. tom. 1-3. Τεμάχια τῶν συγγραμμάτων παρὰ Γαλλανδίῳ bibl. Patr. T. 2. p. 153. f.

μῖν αἴτιος ἀγαθῶν· παρ' οὗ τὸ εὖ ζῆν ἐκδιδασκόμενοι, εἰς ἀΐδιον ζωὴν παραπεμπόμεθα» (§. 1.). Περιγράψας δὲ τὰς ἐν τοῖς ἀνθρώποις θαυμαστὰς μεταβολάς, τὰς τελεσθείσας τῇ δυνάμει τοῦ Λόγου, μεταβαίνει (§. 2.) εἰς τὰ ἑλληνικὰ μυστήρια, ἀφ' ὧν αἴρει τὸ περικάλυμμα, ὑφ' ὃ ἐκρύπτετο ἡ ἀσχημία καὶ ἡ ματαιότης αὐτῶν· δίδωσι περὶ αὐτῶν τοιαύτας εἰδήσεις, οἵας ἠδύνατο ἔχειν μόνον ὁ αὐτόπτης τούτων γενόμενος· δείκνυσιν ὅσον ἀκάθαρτοι καὶ ἀπάνθρωποι αἱ θυσίαι καὶ βδελυρὰ τὰ εἴδωλα (§. 3. 4.). Ἀναθεωρεῖ τὰς δοξασίας τῶν φιλοσόφων καὶ τῶν ποιητῶν, καὶ καθίστησι δῆλον, ὅτι πᾶν τὸ ἐν αὐτοῖς εὑρισκόμενον καλὸν ἦν ἀποκεκαλυμμένον ἐκ πολλοῦ ἐν τῇ ἁγίᾳ Γραφῇ, καὶ ὅτι αἱ διαφωνίαι καὶ αἱ ἀντιφάσεις τῶν ἀνδρῶν τούτων καταμαρτυροῦσιν αὐτῶν (§. 5—7). Ἡ περὶ Θεοῦ ἀληθὴς διδασκαλία εὕρηται παρὰ τοῖς θεοπνεύστοις ἀνδράσι. Φοβερὸν τοίνυν μὴ ἀκούειν αὐτῶν. Οἱ θεσμοὶ τῶν πατέρων, ὑπάρχοντες κακοί, οὐ συνιστῶσι νόμον (§. 8—10). Αἱ εὐεργετικαὶ τοῦ χριστιανισμοῦ ἐνέργειαί εἰσι πρόδηλοι τοῖς πᾶσι. Τίνος οὖν ἕνεκα καταφρονητέος ὁ χριστιανισμὸς καὶ τηρητέος ὁ βλαβερὸς ἐθνισμός; (§. 11—12.) [*].

---

[*] Θαυμασία ἐστὶν ἡ ἐν τῷ ἐπιλόγῳ ἀποστροφὴ πρὸς τὸν γέροντα Τειρεσίαν: «*Καὶ μὴν ὁρᾶν μοι δύο μὲν Ἡλίους δοκῶ, δισσὰς δὲ Θήβας*» βακχεύων ἔλεγέ τις εἰδώλοις, ἀγνοίᾳ μεθύων ἀκράτῳ. Ἐγὼ δ' αὐτὸν οἰκτείραιμι παροινοῦντα, καὶ τὸν οὕτω παρανοοῦντα ἐπὶ σωτηρίαν παρακαλέσαιμι σωφρονοῦσαν, ὅτι καὶ Κύριος μετάνοιαν ἁμαρτωλοῦ, καὶ οὐχὶ θάνατον ἀσπάζεται. Ἧκε, ὦ παραπλήξ, μὴ θύρσῳ σκηριπτόμενος, μὴ κιττῷ ἀναδούμενος, ῥίψον τὴν μίτραν, ῥίψον τὴν νεβρίδα, σωφρόνησον. Δείξω σοι τὸν Λόγον, καὶ τοῦ Λόγου τὰ μυστήρια, κατὰ τὴν σὴν διηγούμενος εἰκόνα. Ὄρος ἐστὶ τοῦτο Θεῷ πεφιλημένον· οὐ τραγῳδίαις ὡς Κιθαιρὼν ὑποκείμενον, ἀλλὰ τῆς ἀληθείας ἀνακείμενον δράμασιν· ὄρος νηφάλιον, ἁγναῖς ὕλαις σύσκιον· βακχεύουσι δὲ ἐν αὐτῷ οὐχ αἱ Σεμέλης τῆς κεραυνίας ἀδελφαὶ αἱ Μαινάδες, αἱ δύσαγνον κρεανομίαν μυούμεναι, ἀλλ' αἱ τοῦ Θεοῦ θυγατέρες, αἱ ἀμνάδες αἱ καλαί, τὰ σεμνὰ τοῦ Λόγου θεσπίζουσαι ὄργια, χορὸν ἐγείρουσαι σώφρονα. Ὁ χορὸς οἱ δίκαιοι· τὸ ᾆσμα ὕμνος ἐστὶ τοῦ πάντων βασιλέως. Ψάλλουσιν αἱ κόραι, δοξάζουσιν ἄγγελοι, Προφῆται λαλοῦσιν· ἦχος στέλλεται μουσικῆς, δρόμῳ τὸν θίασον διώκουσι, σπεύδουσιν οἱ κεκλημένοι, Πατέρα ποθοῦντες ἀπολαβεῖν.

Ὁ Φώτιος ὑπερεπαινεῖ τὴν φράσιν τοῦ συγγράμματος τούτου ([1]), ἀλλ᾽ ἀνάγκη ἐκτιμῆσαι καὶ τὸ ἐν αὐτῷ περιεχόμενον.

Ὁ Παιδαγωγός, ἕτερον τοῦ Κλήμεντος σύγγραμμα, ἔχει, κατὰ τὴν ὁμολογίαν τοῦ συγγραφέως, ἐσωτερικὸν σύνδεσμον μετὰ τοῦ Προτρεπτικοῦ. «Τριῶν γε τοι τούτων, λέγει, περὶ τὸν ἄνθρωπον ὄντων, ἠθῶν, πράξεων, παθῶν, ὁ προτρεπτικὸς εἴληχε τὰ ἤθη αὐτοῦ, θεοσεβείας καθηγεμών, ὁ τροπιδίου δίκην ὑποκείμενος λόγος εἰς οἰκοδομὴν πίστεως· ἐφ᾽ ᾧ μάλα γαννύμενοι, καὶ τὰς παλαιὰς ἀπομνύμενοι δόξας, πρὸς σωτηρίαν νεάζομεν ψαλλούσῃ συνᾴδοντες προφητείᾳ: «ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεὸς τοῖς εὐθέσι τῇ καρδίᾳ». Πράξεών τε ἁπασῶν ὁ Λόγος ἐπιστατεῖ ὁ ὑποθετικός· τὰ δὲ πάθη ὁ παραμυθητικὸς ἰᾶται· εἷς ὢν πᾶς ὁ αὐτὸς οὗτος λόγος, τῆς συντρόφου καὶ κοσμικῆς συνηθείας ἐξαρπάζων τὸν ἄνθρωπον, εἰς δὲ τὴν μονότροπον τῆς εἰς Θεὸν πίστεως σωτηρίαν παιδαγωγῶν. Ὁ γοῦν οὐράνιος ἡγεμών, ὁ Λόγος, ὁπηνίκα μὲν ἐπὶ σωτηρίαν παρεκάλει, Προτρεπτικὸς ὄνομα αὐτῷ ἦν· ἰδίως οὗτος παρορμητικός, ἐκ μέρους τὸ πᾶν, προσαγορευόμενος Λόγος· προτρεπτικὴ γὰρ ἡ πᾶσα θεοσέβεια, ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης ὄρεξιν ἐγγεννῶσα τῷ συγγενεῖ λογισμῷ. Νυνὶ δὲ θεραπευτικός τε ὢν

Ἧκέ μοι, ὦ πρέσβυ, καὶ σύ, τὰς Θήβας λιπών, καὶ τὴν μαντικὴν καὶ τὴν βακχικὴν ἀπορρίψας, πρὸς ἀλήθειαν χειραγωγοῦ. Ἰδού σοι τὸ ξύλον ἐπερείδεσθαι δίδωμι· σπεῦσον, Τειρεσία, πίστευσον, ὄψει. Χριστὸς ἐπιλάμπει φαιδρότερον Ἡλίου, δι᾽ ὃ ὀφθαλμοὶ τυφλῶν ἀναβλέπουσιν· νύξ σε φεύξεται, πῦρ φοβηθήσεται, θάνατος οἰχήσεται· ὄψει τοὺς Οὐρανούς, ὦ γέρον, ὁ Θήβας μὴ βλέπων. Ὢ τῶν ἁγίων ὡς ἀληθῶς μυστηρίων! ὦ φωτὸς ἀκηράτου! Δᾳδουχοῦμαι, τοὺς Οὐρανοὺς καὶ τὸν Θεὸν ἐποπτεύσας. Ἅγιος γίνομαι, μυούμενος. Ἱεροφαντεῖ δὲ ὁ Κύριος, καὶ τὸν μύστην σφραγίζεται φωταγωγῶν, καὶ παρατίθεται τῷ Πατρὶ τὸν πεπιστευκότα, αἰῶσι τηρούμενον. Ταῦτα τῶν ἐμῶν μυστηρίων τὰ βακχεύματα· εἰ βούλει, καὶ σὺ μυοῦ· καὶ χορεύσεις μετ᾽ Ἀγγέλων ἀμφὶ τὸν ἀγέννητον καὶ ἀνώλεθρον καὶ μόνον ὄντως Θεόν, συνυμνοῦντος ἡμῖν τοῦ Θεοῦ Λόγου...» Σ.Μ.

([1]) Ἀνάγν. ρια΄. Περὶ αὐτοῦ ποιοῦνται λόγον ὁ Εὐσέβ. ἐκκλ. ἱστορ. ς΄. 13. 44. Εὐαγγελ. Προπαρ. β΄. 2. 5. δ΄. 16, καὶ ὁ Ἱερώνυμος de vir. illustr. c. 38. Epist. ad Magnum.

καὶ ὑποθετικὸς ἅμα ἄμφω, ἑπόμενος αὐτὸς αὐτῷ παραινεῖ τὸ προτετραμμένον κεφάλαιον, τῶν ἐν ἡμῖν παθῶν ὑπισχνούμενος τὴν ἴασιν· κεκλήσθω δ' ἡμῖν ἐνὶ προσφυῶς οὗτος ὀνόματι Παιδαγωγός, Πρακτικός, οὐ μεθοδικὸς ὢν ὁ Παιδαγωγός· ᾗ καὶ τὸ τέλος αὐτοῦ βελτιῶσαι τὴν ψυχήν ἐστιν, οὐ διδάξαι· σώφρονός τε, οὐκ ἐπιστημονικοῦ καθηγήσασθαι βίου». Ἔπειτα δ' ὁρίζεται ἡ ἔννοια περὶ τοῦ ἀληθοῦς Παιδαγωγοῦ. Ἔστι τέλεον ἄμωμος, οὐχ ὑπόκειται τοῖς πάθεσι. Κατ' αὐτόν, ὡς πρότυπον ἁγνόν, οἱ ἄνθρωποι ὀφείλουσι μορφοῦν ἑαυτοὺς καὶ ὁμοιοῦσθαι Αὐτῷ. Ὁ Παιδαγωγὸς οὗτός ἐστιν ὁ Χριστός, ὁ τὸ σκότος τοῦ ἐθνισμοῦ διασκεδάσας, ὅστις, ὡς Θεὸς ἀφίησι τὰς ἁμαρτίας· ὡς ἄνθρωπος δὲ διδάσκει ἡμᾶς ἀπέχεσθαι τῶν ἁμαρτιῶν· διδάσκει ἅπαντας ἄνευ διακρίσεως· ἄγει ἕκαστον εἰς τὴν ἁπλότητα τῆς ἀθώας νεότητος· αὐτὸς ἐπαιδαγώγει τὸν Ἰσραήλ· ὁ αὐτὸς διοικεῖ καὶ τὸν νέον Αὐτοῦ λαόν· ἐλεεῖ ὡς Θεός, ἢ τιμωρεῖ, καὶ ἐν γένει πράττει συνῳδὰ τῇ σοφῇ ἀγάπῃ. Πρὸς ἔλεγχον δὲ τῶν αἱρετικῶν δείκνυσιν ἐν ἀκριβείᾳ, πῶς ὁ Χριστὸς ἐστιν ὁ καθολικὸς Παιδαγωγός, ἐν μὲν τῇ Παλαιᾷ Διαθήκῃ διδάξας διὰ τοῦ φόβου, ἐν δὲ τῇ Καινῇ διὰ τῆς ἀγάπης. «Καὶ γὰρ ὁ βίος ὁ Χριστιανῶν, λέγει ἐπὶ τέλους, ὃν παιδαγωγούμεθα νῦν, σύστημά τι ἐστὶ λογικῶν πράξεων· τουτέστι τῶν ὑπὸ τοῦ Λόγου διδασκομένων ἀδιάπτωτος ἐνέργεια, ἣν δὴ πίστιν κεκλήκαμεν»[α].—Ἐν τῷ δευτέρῳ βιβλίῳ ἐκτίθενται

[α] «Le premier livre du *Pédagogue*, λέγει ὁ περικλεὴς Freppel, est une des productions les plus originales de l' éloquence chrétienne. La hardiesse et la vivacité des images, d'un côté; l'élévation des pensées, de l' autre, contribuent également au mérite de cette belle catechèse. Clément d'Alexandrie possedait à un degré rare deux facultés qui s' excluent d' ordinaire, mais dont la réunion est d' une fécondité merveilleuse: l' esprit philosophique et l' inspiration du poéte. Dela ce charme puissant qu' il sait répandre sur la morale et la métaphysique chrétiennes. Dogmes, préceptes, institutions, tout prend sous sa plume un éclat et un relief étonnants. Pour lui, la nature n' a pas de couleurs qu' il ne s' approprie, ni l' histoire de faits qu' il n' applique pour prêter de la vie et de l' intérêt a son enseignement . . . . . quand l' élévation de l' esprit, la

οἱ μερικοὶ κανόνες, καθ᾽ οὓς ῥυθμιστέον τὸν βίον τοῦ χριστιανοῦ. Ἐπιτάττονται ἐν μὲν τῇ τροφῇ ἡ μετριότης, ἐν δὲ τοῖς οἰκιακοῖς κοσμήμασιν ἡ ἁπλότης, καὶ ἐν ταῖς φιλικαῖς συναθροίσεσιν ἡ κοσμιότης (§ 1—7). Λύεται τὸ ζήτημα: εἰ χρηστέον μύροις καὶ στεφάνοις (§ 8). Ἐντέλλεται μὴ καθεύδειν ἐπὶ πολύ, ἵνα ἔχωμεν πλείονα χρόνον διὰ τὴν νυκτερινὴν προσευχήν (§ 9). Ὁ τοῦ γάμου σύνδεσμός ἐστιν ἅγιος, διὸ δέον ποιεῖσθαι αὐτοῦ ἁγίαν χρῆσιν. Ἡ παρθενία ἐστὶ πολλῷ ὑψηλοτέρα αὐτοῦ (§ 10). Κατακρίνονται πάντα τὰ μὴ ἀναγκαῖα κοσμήματα καὶ ἡ πολυτέλεια τῶν ἐνδυμάτων (§ 11).— Ἐν δὲ τῷ τρίτῳ βιβλίῳ προτίθησιν ὁ Παιδαγωγὸς τὴν εἰκόνα τοῦ ἀληθοῦς κάλλους (§ 1). Ὑποτυποῖ ἐνδηκτικῇ σατύρᾳ τὴν εἰκόνα τοῦ ἐκτεθηλυμένου καὶ διεφθαρμένου κάλλους, οἷαν περιβάλλονται ἐν τῷ κόσμῳ. Τὰς ἀγαπώσας τὴν πολυτέλειαν γυναῖκας παραβάλλει πρὸς τοὺς Αἰγυπτιακοὺς ναούς, οἳ ἔξωθεν μὲν εἰσι κεκοσμημένοι γραφαῖς καὶ ἀναγλύφοις, χρυσῷ καὶ πολυτίμοις λίθοις· θύτης δέ τις ἢ ἄλλος τις τῶν ἱεροφαντῶν, σεμνὸν δεδορκώς, εἰσέρχεται ἔνδον τοῦ ναοῦ· καὶ τί ἐκεῖ; αἴλουρος, ἢ κροκόδειλος, ἢ αὐτόχθων ὄφις. Πολλῷ βδελυρώτερον τὸ πάθος ἐν τῷ ἀνδρί (§ 2). Ζωγραφεῖ τὴν ἐκθήλυνσιν τῶν Ῥωμαίων, παρ᾽ οἷς τοσοῦτοι δοῦλοι, εὐνοῦχοι, οἳ τὰ μὲν ζῶα ἀγαπῶσι, τὸν δὲ πτωχὸν οὐδαμῶς (§ 3. 4). Κατακρίνει τὰ ῥωμαϊκὰ λουτρά (§ 5). Οἷος ὁ χριστιανὸς πλούσιος; (§ 6—9). Ἐπαινεῖ τὰς σωματικὰς ἀσκήσεις, ἀλλ᾽ οὐχὶ καὶ τὰ παίγνια τοῦ ἱπποδρομίου (§ 10). Μετὰ βραχεῖαν διαγραφὴν τοῦ ἀρίστου βίου περαίνει τὸ σύγγραμμα δι᾽ ὕμνου εἰς τὸν Ἰησοῦν Χριστόν, ἐν ᾧ αὐτὸς ὁ Κλήμης καθίστησι γνωστὸν τὸ ᾆσμα τῆς τότε Ἐκκλησίας (§ 11—12).

---

profondeur du sentiment et la richesse de l'imagination se réunissent dans une harmonie féconde, elles impriment aux oeuvres de l'intelligence un cachet d'originalité qui commande l'admiration ; et l'une des plus nobles jouissances du coeur consiste à converser avec les hommes aux quels Dieu a départi ces hautes facultés. » (Clément d'Alexandrie cours d'éloquence sacrée, (pag. 205—6). Σ. Μ.

Ὁ Παιδαγωγὸς φέρει ἐν ἑαυτῷ τὴν σφραγῖδα τῆς τε αὐστηρότητος καὶ ἁπλότητος τῶν πρώτων χριστιανικῶν χρόνων, ἀποπνέει τὴν καθαρότητα τελειότητος καὶ ψέγει τὴν ἐθνικὴν θρησκείαν, ἐν τῇ πράξει, ὡς ἀρξαμένην καὶ τηρουμένην διὰ τοῦ διεφθαρμένου βίου, καὶ οὐχὶ διὰ τῶν φανταστικῶν πλασμάτων τῆς Μυθολογίας (6).

§ 86. *Στρωματεῖς· σημασία τοῦ ὀνόματος τοῦ συγγράμματος, κρίσεις τῶν ἀρχαίων περὶ αὐτοῦ· ὑπόθεσις ἑκάστου τῶν ἑπτὰ βιβλίων· περὶ τοῦ ὀγδόου βιβλίου.*

Τὸ τρίτον σύγγραμμα τοῦ Κλήμεντος, οὗ σκοπός ἐστιν ἀγαγεῖν τὸν ἐν τῷ χριστιανισμῷ παιδαγωγηθέντα εἰς τὸν ὕψιστον βαθμὸν τῆς χριστιανικῆς διδασκαλίας, συνιστᾶσιν οἱ Στρωματεῖς, ἢ κατὰ τὴν πλήρη ἐπιγραφήν: τῶν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν γνωστικῶν ὑπομνημάτων Στρωματεῖς (1). Ἰδοὺ δὲ πῶς ἐκτίθησιν ὁ Κλήμης τὴν αἰτίαν, δι' ἣν ἔδωκε τὸ ὄνομα τοῦτο τῷ ἑαυτοῦ συγγράμματι: «Περιέξουσι δέ, λέγει, οἱ Στρωματεῖς ἀναμεμιγμένην τὴν ἀλήθειαν τοῖς φιλοσοφίας δόγμασι, μᾶλλον δ' ἐγκεκαλυμμένην καὶ ἐπικεκρυμμένην, καθάπερ τῷ λεπύρῳ τὸ ἐδώδιμον τοῦ καρύου» (2) [γ]. Ἡ δὲ αἰτία, δι' ἣν ἐδόθη τῷ συγγράμμα-

---

(6) Ὁ ἱερὸς Φώτιος λέγει περὶ τοῦ Προτρεπτικοῦ καὶ τοῦ Παιδαγωγοῦ τάδε: «Ὁ δὲ Παιδαγωγὸς ἐν τρισὶ τόμοις ἐστὶν αὐτῷ διαπεπονημένος, ἤθους καὶ βίου κατορθωτικός· ἔχει δὲ τούτων καὶ προηγούμενον καὶ συνταττόμενον λόγον ἕτερον, ἐν ᾧ τὴν Ἑλλήνων διελέγχει ἀθεότητα· οὐδὲν δὲ ὅμοιον ἔχουσι πρὸς τὰς Ὑποτυπώσεις οὗτοι οἱ λόγοι· τῶν τε γὰρ ματαίων καὶ βλασφήμων ἀπηλλαγμένοι δοξῶν καθεστήκασι, καὶ ἡ φράσις ἀνθηρά, καὶ εἰς ὄγκον ἠρμένη σύμμετρον μετὰ τοῦ ἡδέος, καὶ ἡ πολυμάθεια ἐμπρέπουσα· μνημονεύει δὲ πρὸς τῷ τέλει καὶ περὶ εἰκόνων» (Βιβλιοθ. ἀνάγν. ριά.) Σ. Μ.

(1) Εὐσέβ. ἐκκλ. ἱστορ. ϛ'. 13. παρὰ τῷ Κλήμεντι βραχέως *Στρωματεῖς*.

(2) Στρωμ. βιβλ. ά. κεφ. 1. σελ. 326.

[γ] «Τὸ ὄνομα τοῦ συγγράμματος, λέγει ὁ σοφὸς Κοντογόνης, λαμβάνεται ἐνταῦθα κατὰ μεταφορικὴν σημασίαν· διότι *Στρωματεὺς* ἢ *στρῶμα* σημαίνει κυρίως τοὺς παρὰ τῇ κλίνῃ ἢ τῇ τραπέζῃ στρωννυμένους ποικίλους τάπητας, ἐπὶ τῶν ὁποίων οἱ ἀρχαῖοι κατεκλίνοντο· ἤ, κατ' ἄλ-

τι τοιαύτη ἰδιάζουσα μορφή, ἣν ἡ ἐπιθυμία τοῦ προφυλάξαι τὴν χριστιανικὴν διδασκαλίαν τῶν ψευδῶν ἑρμηνειῶν: «ἔστω δὲ ὑμῖν, λέγει, τὰ ὑπομνήματα, ὡς πολλάκις εἴπομεν, διὰ τοὺς ἀναίδην ἀπείρως ἐντυγχάνοντας, ποικίλα, ὡς αὐτό που τοὔνομά φησι, «διεστρωμένα» ἀπ᾽ ἄλλου εἰς ἄλλο συνεχὲς μετιόντα, καὶ ἕτερον μέντοι κατὰ τὸν εἱρμὸν τῶν λόγων μηνύοντα, ἐνδεικνύμενα δὲ ἄλλο τι»(1). Ἐφεξῆς δὲ λέγει: «Ἡ μὲν οὖν τῶνδε μοι τῶν ὑπομνημάτων γραφὴ ἀσθενὴς μὲν εὖ οἶδ᾽ ὅτι, παραβαλλομένη πρὸς τὸ πνεῦμα ἐκεῖνο τὸ κεχαριτωμένον, οὗ κατηξιώθημεν ὑπακοῦσαι»(2). «Οὔτ᾽ οὖν τῆς τάξεως οὔτε τῆς φράσεως στοχάζονται οἱ Στρωματεῖς» (3).

Ἐν τοῖς Στρωματεῦσιν ἐξέθηκεν ὁ Κλήμης τὰς ἀρχὰς τῆς χριστιανικῆς φιλοσοφίας, ἤ, ὡς ὀνομάζει αὐτήν, τῆς γνώσεως, ὅπως ἀνασκευάσῃ τὰ σοφίσματα τῶν ἐπὶ τῶν χρόνων αὐτοῦ Γνωστικῶν καὶ τὰς πλάνας τῶν Ἐθνικῶν. Ὁ πλοῦτος τῶν ποικίλων ἐννοιῶν, δογματικῶν, ἠθικῶν, ἱστορικῶν, ἥνωται ἐνταῦθα τῷ αὐτῷ πλούτῳ διαφόρων γνωμῶν τῶν τε φιλοσόφων καὶ τῶν ποιητῶν. Ἐνταῦθα γίνεται λόγος περὶ πάντων τῶν ἐπισήμων φαινομένων ἐν τῷ χρόνῳ τοῦ Κλήμεντος, περὶ τῶν σχέσεων τῆς Ὀρθοδόξου Ἐκκλησίας πρὸς τὰς ἀπ᾽ αὐτῆς κεχωρισμένας, περὶ τῶν σχέσεων τοῦ χριστιανισμοῦ πρὸς τὸν ἐθνισμόν, περὶ τῆς φιλοσοφίας ἀναφορικῶς πρὸς τὸν χριστιανισμόν, περὶ τῆς πίστεως ἀναφορικῶς πρὸς τὴν

λους, Στρωματεὺς λέγεται ὁ σάκκος, ὅπου ἐφυλάττοντο οἱ ποικίλοι οὗτοι τάπητες· κατὰ μεταφορὰν λοιπὸν καλοῦνται καὶ τὰ βιβλία ταῦτα *στρωματεῖς*, διὰ τὸ ποικίλον καὶ σύμμικτον τῆς ὕλης αὐτῶν, ὡς καὶ αὐτὸς ὁ Κλήμης δηλοῖ». (Φιλολογ. καὶ κριτ. ἱστορ τῶν ἁγ. Πατ. Τόμ. Ά. σελ. 347). Σ. Μ.

(1) Στρωματ. Δ. 2. σελ. 565.

(2) Στρωμ. Α. 1. σελ. 323.

(3) Στρωμ. Ζ. 18. σελ. 902: «Ἐοίκασι δέ πως οἱ Στρωματεῖς οὐ παραδείσοις ἐξησκημένοις ἐκείνοις, τοῖς ἐν στοιχείῳ καταπεφυτευμένοις εἰς ἡδονὴν ὄψεως· ὄρει δὲ μᾶλλον συσκίῳ τινὶ καὶ δασεῖ, κυπαρίσσοις καὶ πλατάνοις, δάφνῃ τε καὶ κισσῷ, μηλέαις τε ὁμοῦ, καὶ ἐλαίαις, καὶ συκαῖς καταπεφυτευμένῳ, ἐξεπίτηδες ἀναμεμιγμένης τῆς φυτείας καρποφόρων τε ὁμοῦ καὶ ἀκάρπων δένδρων, διὰ τοὺς ὑφαιρεῖσθαι καὶ κλέπτειν τολμῶντας τὰ ὥρια, ἐθελούσης λανθάνειν τῆς Γραφῆς». Στρωμ. Ζ. 18. σελ. 901. 902.

γνῶσιν, περὶ τῆς διαφορᾶς τῆς ἀληθοῦς γνώσεως ἀπὸ τῆς ψευδοῦς.

Ἐν ἡλίκῳ δὲ σεβασμῷ ἦν τὸ σύγγραμμα τοῦτο παρὰ τοῖς ἀρχαίοις ἀρκούντως δεικνῦσιν οἱ λόγοι τοῦ Εὐσεβίου, ὅς, ἀναφέρων ἐξ αὐτοῦ ἓν χωρίον, λέγει, ὅτι περιττὸν ἀγαγεῖν εἰς μέσον λόγους, ὅτε παντὶ πρόκειται εἰς ὄψιν αὐτὰ τοῦ Κλήμεντος τὰ συγγράμματα (1)». Ἐντεῦθεν ἐδόθη αὐτῷ τὸ ὄνομα Στρωματεύς (2).

Ἡ κυρία τοῦ συγγράμματος τούτου ἔννοιά ἐστιν ἡ ἑξῆς: Ὁ χριστιανισμός ἐστιν ἡ ἀληθὴς καὶ ὑψίστη φιλοσοφία. Ἐν τῷ πρώτῳ βιβλίῳ λέγει ὁ Κλήμης, ὅτι ὁ νόμος τοῦ Μωϋσέως καὶ ἡ ἑλληνικὴ φιλοσοφία συντελοῦσι πρὸς τὸ αὐτὸ τέλος καί εἰσι πρὸς τὸν χριστιανισμὸν ὅ,τι αἱ μερικαὶ ἀλήθειαι πρὸς τὸ σύνολον ἁπασῶν τῶν ἀληθειῶν. Ἐκεῖνός τε καὶ αὕτη προπαρεσκεύασαν τοὺς ἀνθρώπους πρὸς τὸν χριστιανισμόν, ἀλλ᾽ οὐ κατὰ τὸν αὐτὸν τρόπον. Ἐντεῦθεν ἡ φιλοσοφία αὐτὴ καθ᾽ ἑαυτὴν οὐκ ἔστιν ἀναξία τῶν πιστῶν, οὐδ᾽ ἀπορριπτέα, τοὐναντίον δὲ ἀναγκαία πρὸς ὑπεράσπισιν τῶν ἀληθειῶν τῆς πίστεως· ἡ φιλοσοφία ἐστὶ θεῖον δῶρον, καὶ προῆλθεν ἐκ τῆς πρωτογόνου ἀποκαλύψεως τοῦ ἀνθρωπίνου γένους. Ἡ ἑλληνικὴ σοφία ἐστὶ μεταγενεστέρα τῆς ἑβραϊκῆς, παρ᾽ ἧς ἐκείνη πολλὰ παρέλαβεν [*].

(1) Εὐσέβ. Εὐαγγελ. Προπαρασκ. βιβλ. Θ΄. 6. βιβλ. Ι΄. 1. 5. 11. βιβλ. ιά. 24. Ἐκ τοῦ συγγράμματος τούτου ἀναφέρουσι χωρία Κύριλλος ὁ Ἀλεξανδρείας (κατὰ Ἰουλιαν. βιβλ. ς΄. σελ. 205. edit Paris. 1638. βιβλ. ζ΄. σελ. 231.), καὶ Μάξιμος ὁ Ὁμολογητὴς (Διάλ. πρὸς Πύρρον).

(2) Θεοδώρ. αἱρετ. κακομυθ. βιβλ. Α. κεφάλ. 4. « Καταγωνίζονται δὲ τούτους . . . . καὶ Κλήμης ὁ Στρωματεύς. . . » κεφ. 6. « Καὶ τούτου δὴ μάρτυρα τὸν Στρωματέα παρέξομαι Κλήμεντα». κεφ. 21. «Κατὰ τούτων συγγράφει Μουσανὸς τῆς ἀληθείας συνήγορος, καὶ Κλήμης ὁ Στρωματεύς». Φώτ. Βιβλιοθ. ἀνάγνωσι. Νικήφ. ἐκκλ. ἱστ. δ. 33. ε. 18· Caten. Patr. in Epist. Cathol. ed. a Cramero, p. 245. Oxonii, 1844.

[*] Ἐν τῷ *Παιδαγωγῷ* ἀπαντῶσι στωϊκαὶ ἰδέαι ἐπανορθούμεναι ὑπὸ τῆς ἠθικῆς τοῦ Εὐαγγελίου· αἱ *Ὑποτυπώσεις* προσφέρουσιν ἡμῖν μίμησιν τῆς λογικῆς τοῦ Ἀριστοτέλους· ὁ *προτρεπτικὸς πρὸς Ἕλληνας* καὶ οἱ *Στρωματεῖς* ἀποδεικνῦσιν, ὅτι ἐν τῇ Μεταφυσικῇ ὁ Κλήμης προὐτίμα τὴν διδασκαλίαν τοῦ Πλάτωνος. Ὅλως δέ, ὁ Ἀλεξανδρινὸς φιλόσοφος ἀκολουθεῖ τῇ ἐκλεκτικῇ μεθόδῳ, ὡς αὐτὸς ὁμολογεῖ τοῦτο ἀπὸ τοῦ εὐθέος. «Φιλοσοφίαν δέ, οὐ τὴν Στωϊκὴν λέγω, οὐδὲ τὴν Πλατωνικήν, ἢ τὴν

Ἐν τῷ δευτέρῳ βιβλίῳ ἀναπτύσσεται πληρέστερον ἡ περὶ τῆς χριστιανικῆς φιλοσοφίας ἔννοια. Αὕτη κατὰ τὸν Κλήμεντα ἐρείδεται ἐπὶ τῆς πίστεως εἰς τὴν θείαν Ἀποκάλυψιν, ὡς εἰς οὐσιώδη βάσιν τῆς σωτηρίας· ἡ δὲ ἐπιστήμη διεγείρει τὴν πίστιν διὰ τῶν διαφόρων πνευματικῶν δυνάμεων, καὶ στέφανος αὐτῆς ἐστιν ἡ γνῶσις, δηλαδὴ ἡ θεωρία πάντων τῶν πραγμάτων ἐν τῇ πρώτῃ αὐτῶν αἰτίᾳ, τουτέστιν, ἐν τῷ Θεῷ. Ἐν τῇ πίστει περιλαμβάνονται καὶ αἱ πρακτικαὶ ἀρεταὶ—ἡ ἀγάπη, ἡ ἁγνεία, ἡ μετάνοια. Ἡ ἠθικὴ διδασκαλία τοῦ Μωϋσέως ἐστὶ τὸ πρότυπον τῶν ἐν τοῖς Ἕλλησιν ἠθικῶν διδασκάλων. Ἐξετάζονται αἱ γνῶμαι τῶν φιλοσόφων περὶ τοῦ ὑψίστου ἀγαθοῦ.

Ἐπικούρειόν τε καὶ Ἀριστοτελικήν· ἀλλ᾽ ὅσα εἴρηται παρ᾽ ἑκάστῃ τῶν αἱρέσεων τούτων καλῶς, δικαιοσύνην μετὰ εὐσεβοῦς ἐπιστήμης ἐκδιδάσκοντα, τοῦτο σύμπαν τὸ ἐκλεκτικὸν φιλοσοφίαν φημί . . . Μιᾶς τοίνυν οὔσης τῆς ἀληθείας (τὸ γὰρ ψεῦδος μυρίας ἐκτροπὰς ἔχει), καθάπερ αἱ Βάκχαι τὰ τοῦ Πενθέως διαφορήσασαι μέλη, αἱ τῆς φιλοσοφίας τῆς τε βαρβάρου, τῆς τε ἑλληνικῆς αἱρέσεις ἑκάστη, ὅπερ ἔλαχεν, ὡς πᾶσαν αὐχεῖ τὴν ἀλήθειαν . . . . Πάμπολλα γὰρ τῶν παρὰ ταῖς αἱρέσεσι δοξαζομένων εὕροιμεν ἄν, ὅσαι μὴ τέλεον ἐκκεκώφηνται, μηδὲ ἐξετμήθησαν τὴν φυσικὴν ἀκολουθίαν, καθάπερ τὸν ἄνδρα αἱ γυναικωνίτιδες, ἀποκοψάμεναι τὸν Χριστόν· εἰ καὶ ἀλλήλοις ἀνόμοια εἶναι δοκεῖ, τῷ γένει γε καὶ ὅλῃ τῇ ἀληθείᾳ ὁμολογοῦνται. Ἢ γὰρ ὡς μέλος, ἢ ὡς εἶδος, ἢ ὡς γένος, εἰς ἓν συνέπεται. Ἤδη δὲ καὶ ἡ ὑπάτη, ἐναντία τῇ νεάτῃ οὖσα, ἀλλ᾽ ἄμφω γε ἁρμονία μία· ἔν τε ἀριθμοῖς ὁ ἄρτιος τῷ περιττῷ διαφέρεται, ὁμολογοῦσι δὲ ἄμφω τῇ ἀριθμητικῇ· ὡς τῷ σχήματι ὁ κύκλος, καὶ τὸ τρίγωνον, καὶ τὸ τετράγωνον, καὶ ὅσα τῶν σχημάτων ἀλλήλων διενήνοχεν· ἀτὰρ καὶ ἐν τῷ κόσμῳ παντὶ τὰ μέρη σύμπαντα, κἂν διαφέρηται πρὸς ἄλληλα, τὴν πρὸς τὸ ὅλον οἰκειότητα διαφυλάττει· οὕτως οὖν ἥ τε βάρβαρος, ἥ τε ἑλληνικὴ φιλοσοφία, τὴν ἀΐδιον ἀλήθειαν σπαραγμόν τινα, οὐ τῆς Διονύσου μυθολογίας, τῆς δὲ τοῦ Λόγου τοῦ ὄντος ἀεὶ θεολογίας πεποίηται, ὁ δὲ τὰ διῃρημένα συνθεὶς αὖθις, καὶ ἑνοποιήσας, τέλειον τὸν Λόγον ἀκινδύνως εὖ ἴσθ᾽ ὅτι κατόψεται, τὴν ἀλήθειαν» (Στρωμ. Α. 7. 13). Οὐδέν ἐστι σαφέστερον τῆς ἐννοίας τῶν λόγων τούτων· καὶ ὁ ἐκλεκτικισμὸς τοῦ Κλήμεντος ἐκτίθεται δι᾽ αὐτῶν ἄνευ τῆς ἐλαχίστης ἀμφιβολίας. Κατὰ τὸν Κλήμεντα ἡ θεία ἀλήθεια ὑπῆρχεν ἐν τοῖς ἀνθρώποις ἐξ ἀρχῆς, ἀλλ᾽ αἱ διάφοροι φιλοσοφικαὶ σχολαὶ καὶ αἱ θρησκευτικαὶ αἱρέσεις διέρρηξαν κατόπιν τοῦτο τὸ σῶμα τῶν διδασκαλιῶν. Σ. Μ.

Ἐν τῷ τρίτῳ καὶ τετάρτῳ βιβλίῳ ὁ συγγραφεὺς ὑπερασπίζει καὶ βεβαιοῖ τὴν ἰδέαν, ἣν ἔδωκε περὶ τῆς ἀληθοῦς χριστιανικῆς γνώσεως, διὰ δύο πρακτικῶν σημείων, ἐν οἷς διακρίνεται ἡ ἀληθὴς γνῶσις τῆς αἱρετικῆς καὶ ψευδοῦς. Ταῦτα δ' εἰσὶν ἀφ' ἑνὸς μὲν ἡ ἠθικὴ τελειότης, ἀφ' ἑτέρου ἡ ἀγάπη. Τὸ μὲν πρῶτον δηλοῦται ἐν τῷ παρθενικῷ βίῳ, τὸ δὲ ἄλλο, ἐν τῷ μαρτυρίῳ. Προτιμῶν ὁ συγγραφεὺς τὴν παρθενίαν τοῦ γάμου, λέγει ὅτι ὁ γάμος ὥρισται ὑπὸ τοῦ Θεοῦ, καί ἐστι μέγα τι καὶ ἅγιον.

Ἐν τῷ πέμπτῳ βιβλίῳ ποιεῖται λόγον περὶ τῆς πίστεως καὶ τῆς ἐλπίδος· ὁρίζει τὴν ἔννοιαν αὐτῶν καὶ δείκνυσι τὸ ἀρχαῖον ἔθος τοῦ διδάσκειν διὰ συμβόλων καὶ τὴν χρῆσιν τούτου ὑπὸ τῶν Ἀποστόλων. Ἡ ἀληθὴς γνῶσις τοῦ Θεοῦ ἐστι θεῖον δῶρον, λέγουσιν οἱ φιλόσοφοι [*].

[*] Τὸ ἀκατάληπτον τῆς θείας οὐσίας οὐ κωλύει τὸν Κλήμεντα διερευνῆσαι τὴν ἰδέαν τοῦ Θεοῦ. Ἰδοὺ τί λέγει ἐν τῷ ιά. κεφ «. . . . Λάβοιμεν δ' ἂν τὸν μὲν καθαρτικὸν τρόπον ὁμολογίᾳ, τὸν δὲ ἐποπτικὸν ἀναλύσει, ἐπὶ τὴν πρώτην νόησιν προχωροῦντες δι' ἀναλύσεως, ἐκ τῶν ὑποκειμένων αὐτῷ τὴν ἀρχὴν ποιούμενοι, ἀφελόντες μὲν τοῦ σώματος τὰς φυσικὰς ποιότητας, περιελόντες δὲ τὴν εἰς τὸ βάθος διάστασιν· εἶτα, τὴν εἰς τὸ πλάτος· καὶ ἐπὶ τούτοις τὴν εἰς τὸ μῆκος. Τὸ γὰρ ὑπολειφθέν ἐστι σημεῖον, μονάς, ὡς εἰπεῖν, θέσιν ἔχουσα, ἧς, ἐὰν περιέλωμεν τὴν θέσιν, νοεῖται μονάς. Εἰ τοίνυν ἀφελόντες πάντα, ὅσα πρόσεστι τοῖς σώμασι, καὶ τοῖς λεγομένοις ἀσωμάτοις, ἐπιρρίψωμεν ἑαυτοὺς εἰς τὸ μέγεθος τοῦ Χριστοῦ, κἀκεῖθεν εἰς τὸ ἀχανὲς ἁγιότητι προΐοιμεν, τῇ νοήσει τοῦ Παντοκράτορος ἁμηγέπῃ προσάγοιμεν, οὐχ ὅ ἐστιν, ὃ δὲ μή ἐστι γνωρίσαντες· σχῆμα δὲ καὶ κίνησιν, ἢ στάσιν, ἢ θρόνον, ἢ τόπον, ἢ δεξιά, ἢ ἀριστερά, τοῦ τῶν ὅλων Πατρὸς οὐδ' ὅλως ἐννοητέον, καίτοι καὶ ταῦτα γέγραπται· ἀλλ' ὃ βούλεται δηλοῦν αὐτῶν ἕκαστον, κατὰ τὸν οἰκεῖον ἐπιδειχθήσεται τόπον. Οὔκουν ἐν τόπῳ τὸ πρῶτον αἴτιον, ἀλλ' ὑπεράνω καὶ τόπου καὶ χρόνου, καὶ ὀνόματος καὶ νοήσεως». Τὸ τεμάχιον τοῦτο, λέγει ὁ Freppel, ἐστὶ τὰ μάλιστα ἀξιοσημείωτον· διότι καταδείκνυσιν, ὅτι πολὺν χρόνον πρὸ τοῦ Λεϊβνιτίου, Κλήμης ὁ Ἀλεξανδρεὺς μετήνεγκεν ἐν τῇ Μεταφυσικῇ τὴν τοῦ ἀπείρου μέθοδον, (le procèdé infinitesimal) καθ' ἣν δυνάμεθα ἀφικέσθαι εἰς τὴν ὑψίστην μονάδα ἢ εἰς τὸν Θεόν, ἐξαλείφοντες πᾶν ὅ,τι περιορίζει ἢ περιγράφει τὰ πεπερασμένα ὄντα. Σ. Μ.

Ἐν τῷ ἕκτῳ βιβλίῳ παραινεῖ τοῖς ἐθνικοῖς προτιμῆσαι τὸν χριστιανισμὸν τῆς φιλοσοφίας, ἅτε δὴ περιέχοντα οὐ μόνον πᾶν ὅ,τι ἄριστον ἐν τῇ φιλοσοφίᾳ, ἀλλὰ καὶ ἀποκαλύπτοντα τὴν τελειοτάτην ἀλήθειαν ἐν τῇ κατὰ σάρκα ἐμφανίσει τοῦ Θεοῦ. Ὁ ἀληθὴς χριστιανὸς γνωστικὸς ὑποτάσσει ἅπαντα τὰ πάθη αὐτοῦ τοῖς νόμοις τοῦ Θεοῦ, ἐμψυχούμενος ἐν τοῖς ἀγῶσι διὰ τῆς μελέτης τῆς ἁγνοτάτης φιλοσοφίας. Πόθεν καὶ πῶς κτᾶται τὴν γνῶσιν; Ὁ χριστιανισμός ἐστι διδασκαλεῖον τῶν οἰκουμενικῶν ἀληθειῶν.

Τὸ ἕβδομον βιβλίον ἐστὶ συνέχεια τοῦ προηγουμένου. Περιγράφει τὸν βίον τοῦ ἀληθοῦς γνωστικοῦ, ὡς μαθητοῦ τοῦ Λόγου, τὸν διὰ τῆς προσευχῆς καὶ τῶν θεωριῶν πνευματικὸν φωτισμὸν αὐτοῦ, καὶ τὸν διὰ τῆς ἀγάπης καθαρισμὸν αὐτοῦ. Εἰς δὲ τὴν ἔνστασιν τῶν ἐθνικῶν, ὅτι ὁ μέγας ἀριθμὸς τῶν ἐν τῷ χριστιανισμῷ αἱρέσεων καθίστησιν ἀμφίβολον τὴν ἀλήθειαν αὐτοῦ, ὁ συγγραφεὺς ἀποκρίνεται, ποιούμενος θαυμασίας θεωρίας περὶ τοῦ χαρακτῆρος τῆς ὀρθοδόξου Ἐκκλησίας καὶ τοῦ τῶν αἱρέσεων, καὶ δίδωσι τὸν κανόνα, δι᾿ οὗ δύναταί τις διαγιγνώσκειν τὴν ἀλήθειαν [α].

[α] Ὡς ὁ ἅγιος Εἰρηναῖος, οὕτω καὶ ὁ Κλήμης τοῖς αἱρετικοῖς τὴν ἀρχαιότητα πρὸ πάντων τῆς καθολικῆς Ἐκκλησίας ἀντιτιθείς, ἐκ τοῦ ὅτι ἐκεῖνοι νέα παραδιδοῦσι δόγματα, δείκνυσι ταῦτα ψευδῆ καὶ πεπλανημένα εἶναι, τὴν δὲ ἀλήθειαν ἐν μόνῃ τῇ Ἐκκλησίᾳ ὑπάρχειν. «Ὅτι γάρ, λέγει, μεταγενεστέρας τῆς καθολικῆς Ἐκκλησίας τὰς ἀνθρωπίνας συνηλύσεις πεποιήκασιν (οἱ αἱρετικοί), οὐ πολλῶν δεῖ λόγων. Ἡ μὲν γὰρ τοῦ Κυρίου κατὰ τὴν παρουσίαν διδασκαλία, ἀπὸ Αὐγούστου καὶ Τιβερίου Καίσαρος ἀρξαμένη, μεσούντων τῶν Αὐγούστου χρόνων, τελειοῦται· ἡ δὲ τῶν Ἀποστόλων Αὐτοῦ μέχρι γε τῆς Παύλου λειτουργίας ἐπὶ Νέρωνος τελειοῦται· κάτω δέ, περὶ τοὺς Ἀδριανοῦ τοῦ βασιλέως χρόνους, οἱ τὰς αἱρέσεις ἐπινοήσαντες γεγόνασι, καὶ μέχρι γε τῆς Ἀντωνίνου τοῦ πρεσβυτέρου διέτειναν ἡλικίας, καθάπερ ὁ Βασιλείδης . . . . Μαρκίων . . . . Ὧν οὕτως ἐχόντων, συμφανὲς ἐκ τῆς προγενεστάτης καὶ ἀληθεστάτης Ἐκκλησίας, τὰς μεταγενεστέρας ταύτας καὶ τὰς ἔτι τούτων ὑποβεβηκυίας τῷ χρόνῳ κεκαινοτομῆσθαι παραχαραχθείσας αἱρέσεις» (§ 17). Καὶ ἀμέσως μετὰ ταῦτα λέγει: «Ἐκ τῶν εἰρημένων ἄρα φανερόν, οἶμαι, γεγενῆσθαι, μίαν εἶναι τὴν ἀληθῆ Ἐκκλησίαν, τὴν τῷ ὄντι ἀρχαίαν, εἰς ἣν οἱ κατὰ πρόθεσιν δίκαιοι ἐγκαταλέγονται· ἑνὸς γὰρ ὄντος τοῦ Θεοῦ καὶ ἑνὸς

Τὸ νῦν γνωστὸν ὄγδοον βιβλίον τῶν Στρωματέων οὐδὲν ἔχει κοινὸν πρὸς τὰ προηγούμενα ἑπτά· περὶ οὐδενὸς σχεδὸν θεολογικοῦ ἀντικειμένου γίγνεται ἐν αὐτῷ λόγος, ἀλλὰ πραγματεύεται περὶ διαλεκτικῆς. Τοῦ βιβλίου τούτου ἡ γνησιότης ἐστὶν ἀμφίβολος· διότι οὐ περιέχονται ἐν αὐτῷ ἐκεῖνα, ἅπερ εἶπον περὶ τοῦ ὀγδόου βιβλίου ὁ Φώτιος καὶ ἄλλοι.

§. 87. *Τίς ὁ σωζόμενος πλούσιος; Ὑποτυπώσεις καὶ ἄλλα συγγράμματα.*

Τὸ σύγγραμμα τίς ὁ σωζόμενος πλούσιος; οὗ ἡ γνησιότης ἐστὶν ἀναμφήριστος, κατὰ τὰς μαρτυρίας τῶν ἀρχαίων ([1]), ἔχει καθαρῶς ἠθικὴν ὑπόθεσιν. Ἡ πρὸς συγγραφὴν αὐτοῦ δοθεῖσα ἀφορμὴ δείκνυται ἐν αὐτῷ τῷ συγγράμματι (§ 4). Οἱ χριστιανοὶ καὶ ἐπὶ τοῦ Κλήμεντος ἔτι περὶ πολλοῦ ἐποιοῦντο τὴν πρωτόγονον τάξιν τῆς χριστιανικῆς κοινωνίας, καθ' ἣν τὰ πάντα ἦσαν κοινά. Ἐν τούτοις βαρεῖς ἐφαίνοντο τοῖς ἐθνικοῖς οἱ λόγοι τοῦ Σωτῆρος: «εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς» (Ματθ.

τοῦ Κυρίου, διὰ τοῦτο καὶ τὸ ἄκρως τίμιον κατὰ τὴν μόνωσιν ἐπαινεῖται, μίμημα ὂν ἀρχῆς τῆς μιᾶς. Τῇ γοῦν τοῦ ἑνὸς φύσει συγκληροῦται Ἐκκλησία ἡ μία, ἣν εἰς πολλὰς κατατέμνειν βιάζονται αἱρέσεις. Κατά τε οὖν ὑπόστασιν, κατά τε ἐπίνοιαν, κατά τε ἀρχήν, κατά τε ἐξοχήν, μόνην εἶναι φαμὲν τὴν ἀρχαίαν καὶ καθολικὴν Ἐκκλησίαν, εἰς ἑνότητα πίστεως μιᾶς τῆς κατὰ τὰς οἰκείας διαθήκας, μᾶλλον δὲ κατὰ τὴν διαθήκην τὴν μίαν διαφόροις τοῖς χρόνοις ἑνὸς τοῦ Θεοῦ τῷ βουλήματι δι' ἑνὸς τοῦ Κυρίου συνάγουσαν τοὺς ἤδη κατατεταγμένους, οὓς προώρισεν ὁ Θεός, δικαίους ἐσομένους πρὸ καταβολῆς κόσμου ἐγνωκώς. Ἀλλὰ καὶ ἡ ἐξοχὴ τῆς Ἐκκλησίας, καθάπερ ἡ ἀρχὴ τῆς συστάσεως, κατὰ τὴν μονάδα ἐστί, πάντα τὰ ἄλλα ὑπερβάλλουσα, *καὶ μηδὲν ἔχουσα ὅμοιον ἢ ἴσον ἑαυτῇ*.... τῶν δ' αἱρέσεων αἱ μὲν ἀπὸ ὀνόματος προσαγορεύονται, ὡς ἡ ἀπὸ Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ Βασιλείδου . . . αἱ δὲ ἀπὸ τόπου, ὡς οἱ Περατικοί· αἱ δὲ ἀπὸ ἔθνους, ὡς ἡ τῶν Φρυγῶν· αἱ δὲ ἀπὸ ἐνεργείας, ὡς ἡ τῶν Ἐγκρατητῶν· αἱ δὲ ἀπὸ δογμάτων ἰδιαζόντων, ὡς ἡ τῶν Δοκητῶν, » κτλ. Σ. Μ.

([1]) Εὐσέβ. ἐκκλ. ἱστορ. γ'. 23. ς'. 13. 14. Hieron de vir. illustr. c. 38. Φώτ. Βιβλιοθ. ἀνάγν. ρί.

ιθ΄. 21). Ἐν τῷ συγγράμματι τούτῳ ὁ Κλήμης ἑρμηνεύει ἄριστα τὴν περὶ τοῦ πλουσίου νεανίσκου διήγησιν. Ὁ Κλήμης ἐκφέρει δύο γνώμας: ά.] ὁ πλοῦτος αὐτὸς καθ᾽ ἑαυτὸν οὐκ ἔστι κώλυμα πρὸς τὴν σωτηρίαν, ἀλλὰ τὸ πρὸς αὐτὸν ἀκόρεστον πάθος, καὶ β΄] ἡ φρόνιμος τοῦ πλούτου χρῆσις δύναται εἶναι μέσον πρὸς σωτηρίαν.

Ὑπὸ τοῦ Κλήμεντος συνεγράφη καὶ ἕτερον σύγγραμμα ἐπιγραφόμενον Ὑποτυπώσεις· ἀλλὰ μετὰ πάσης πιθανότητος ὑποθετέον, ὅτι αἱ τοῦ Κλήμεντος Ὑποτυπώσεις, ἃς εἶδεν ὁ Φώτιος, οὐκ ἦσαν αἱ ὑπ᾽ αὐτοῦ συγγραφεῖσαι, ἀλλ᾽ ἕτεραι παρακεχαραγμέναι ὑπὸ τῶν Ἀρειανῶν, ἢ ὑπό τινων ἄλλων αἱρετικῶν. Διότι α] αἱ πλάναι, ἃς εἶδεν ὁ Φώτιος ἐν ταῖς Ὑποτυπώσεσίν εἰσι λίαν παχυλαί, β΄.] ἐν τοῖς Στρωματεῦσίν εἰσιν ἔννοιαι πάντη διάφοροι ἐκείνων, ἃς καταλέγει ὁ Φώτιος, π. χ. ὡς πρὸς τὴν ἄχρονον ὕλην τοῦ κόσμου, καὶ τὴν ἐνσάρκωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ· γ΄] ὁ Φώτιος λέγει, ὅτι αἱ Ὑποτυπώσεις περιέχουσι βραχεῖαν ἑρμηνείαν τῆς Γενέσεως, τῆς Ἐξόδου, τῶν Ψαλμῶν, τῶν Ἐπιστολῶν τοῦ θείου Παύλου, τῶν Καθολικῶν, καὶ τοῦ Ἐκκλησιαστοῦ. Κατὰ δὲ τὸν Εὐσέβιον ἐν αὐταῖς περιείχετο ἑρμηνεία εἰς ἅπασαν τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην, καὶ δὴ εἰς τὰς ἐπιστολὰς τοῦ Ἰούδα καὶ τοῦ Βαρνάβα· δ΄] οὔτε ὁ Εὐσέβιος, οὔτε ὁ Ἱερώνυμος, λόγον ποιησάμενοι περὶ τῶν Ὑποτυπώσεων τοῦ Κλήμεντος, ὑπηνίξαντό τινα τῶν παχυλῶν ἐκείνων πλανῶν τῶν ὑπὸ τοῦ Φωτίου καταλεγομένων. Ἐν τούτοις ὁ Εὐσέβιος ἀναφέρει ἐν τῇ ἑαυτοῦ ἱστορίᾳ χωρία ἐκ τοῦ έ. ς΄. καὶ ζ΄. βιβλίου τῶν Κλημεντείων Ὑποτυπώσεων (1). Ὁ δὲ Ἱερώνυμος ἀποφαίνεται μετ᾽ ἐπαίνων περὶ τοῦ συγγράμματος τούτου, ὡς καὶ περὶ τῶν Στρωματέων. «Ὀκτὼ βιβλία Στρωματέων ἔγραψε καὶ ἕτερα τοσαῦτα Ὑποτυπώσεων. Τί οὐκ ἔστιν ἐν αὐτοῖς σοφόν; μάλιστά γε τί οὐκ ἔστιν ἐκ τοῦ βάθους τῆς φιλοσοφίας;» (2). Τέλος αὐτὸς ὁ Φώτιος ἀμφέβαλλεν, εἰ αἱ Ὑποτυπώσεις, ἃς εἶδεν, ἀνῆκον εἰς τὸν Κλήμεντα (3). Ἐν

(1) Εὐσέβ. ἐκκλ. ἱστορ. β΄. 9. έ. 11. ς΄. 13. 14.

(2) Hieron. de vir. illustr. c. 38. Epist. ad Magnum Orat. Roman.

(3) «Καὶ ἄλλα δὲ μυρία φλυαρεῖ καὶ βλασφημεῖ, εἴτε αὐτός, εἴτε τις ἕτερος τὸ αὐτοῦ πρόσωπον ὑποκριθείς» (ἀνάγν. ρθ΄.).

τούτοις ἐκ τῶν τοῦ Κλήμεντος Ὑποτυπώσεων ἐξαιρέσει τῶν ὑπὸ τοῦ Εὐσεβίου ἀναφερομένων χωρίων οὐ πολλὰ μέχρις ἡμῶν ἀφίκοντο ([1]).

Ἄλλα τοῦ Κλήμεντος συγγράμματα ἀφίκοντο μέχρις ἡμῶν μόνον ἐν τεμαχίοις, οἷα τὰ περὶ τοῦ Πάσχα, περὶ ψυχῆς, περὶ Προνοίας([2]), ἄλλα ἀπωλέσθησαν· ἄλλα δὲ φέρουσι μόνον τὸ ὄνομα αὐτοῦ([3]).

§. 88. *Χαρακτὴρ αὐτοῦ ὡς διδασκάλου.*

Καὶ εἰ μὴ ἐποιοῦντο οἱ ἀρχαῖοι λόγον περὶ τῆς πολυμαθείας τοῦ Κλήμεντος([4]), αὐτὰ τὰ συγγράμματα αὐτοῦ ἤρκουν ἂν δεῖξαι, ὅτι ἐκέκτητο ἔξοχον σοφίαν καὶ σπάνια πνευματικὰ χαρίσματα. Ἔχων ἐγκάρδιον πρὸς τὸν Χριστὸν ἀγάπην καὶ σέβας πρὸς τὸν χριστιανι-

([1]) Ἐν τῇ συλλογῇ τῶν ἑρμηνειῶν εἰς τὴν πρὸς Κορινθίους ἐπιστολὴν ἀναφέρονται σημειώσεις ἐκ τοῦ συγγράμματος τούτου. Ἴδ. Caten. in Ep. ad Corinth. ed. a Cramero, Oxonii, 1841. pag. 385. 391. 473. 22. 25.

([2]) Τὸ περὶ τοῦ Πάσχα βιβλίον συνεγράφη, ὡς λέγει ὁ Εὐσέβιος, ἕνεκα τοῦ βιβλίου τοῦ ἐπισκόπου τῶν Σάρδεων Μελίτωνος περὶ τοῦ Πάσχα, καὶ κατ' ἐπίμονον παράκλησιν τῶν φίλων αὐτοῦ ἐπιθυμούντων ἵνα ἐκθῇ τὰς παραδόσεις, ἃς ἔλαβε παρὰ τῶν ἀρχαίων πρεσβυτέρων. Ἐν αὐτῷ ἐποιήσατο μνείαν τοῦ Εἰρηναίου καὶ ἄλλων τινῶν (ἐκκλ. ἱστορ. ς'. 13). Τεμάχια τοῦ συγγράμματος τούτου ἐν τῷ πασχαλ. χρον. τῷ ἐκδοθέντι ὑπὸ τοῦ Δουκαγγίου καὶ ὑπὸ τοῦ Νειβούρου (p. 14. 15. Bonnæ, 1832), παρὰ Λεοντίῳ, κατὰ τὴν ἔκδοσιν τοῦ Μαΐου (Collect. vet. Auct. Tom. VII. pag. 94. 98. 99. Romæ, 1833). Περὶ τῶν ἄλλων ἴδε τὴν τοῦ Ποττέρου ἔκδοσιν τῶν συγγραμμάτων τοῦ Κλήμεντος.

([3]) Ἀναμφιβόλως ὑποβολιμαῖα συγγράμματα, ἐκτὸς τοῦ ὀγδόου βιβλίου τῶν Στρωματέων, εἰσὶ δύο πονημάτια, ὧν τὸ μὲν ἐπιγράφεται: *ἐκ τῶν Θεοδότου καὶ τῆς ἀνατολικῆς καλουμένης διδασκαλίας κατὰ τοὺς Οὐαλεντίνου χρόνους ἐπιτομαί*· τὸ δέ: *ἐκ τῶν προφητικῶν ἐκλογαί*. Ὑποβολιμαῖαι ὡσαύτως εἰσὶν αἱ Adumbrationes, δηλ. Ὑποτυπώσεις εἴς τινας καθολικὰς ἐπιστολάς, εἰς τὴν Α'. τοῦ Πέτρου, εἰς τὰς δύο τοῦ Ἰωάννου, καὶ εἰς τὴν τοῦ Ἰακώβου. Τούτων σώζονται τέσσαρα τεμάχια λατινιστί, ἅτινα περιέχουσι πελαγιανὰς δοξασίας, καὶ ἐν πολλοῖς οὐ συμφωνοῦσι ταῖς τοῦ Κλήμεντος ἰδέαις.

([4]) Ἴδ. σημ. 13.

σμόν, βαθέως εἰσέδυσεν εἰς τὸ πνεῦμα αὐτοῦ καὶ εἰς τὰς ἀνάγκας τοῦ χρόνου, καθ᾽ ὃν ἔζη. Κατ᾽ ἐξοχὴν δὲ ἄριστα ἐγίνωσκε τὴν ἑλληνικὴν φιλοσοφίαν, θρησκείαν, καὶ φιλολογίαν. Ἡ πρὸς τὴν ἐθνικὴν σοφίαν ἀπέχθεια, ἡ ὑπὸ τοῦ Τατιανοῦ καὶ ἄλλων τινῶν ἐκδηλωθεῖσα, οὐκ ἠδύνατο ἐπὶ τοῦ Κλήμεντος συντελέσαι οὔτε πρὸς τὴν ἐξάπλωσιν τοῦ χριστιανισμοῦ, οὔτε πρὸς τὴν ἐσωτερικὴν αὐτοῦ ἀνάπτυξιν. Οὐκ ἔδει καταφρονεῖν τῆς ἑλληνικῆς φιλοσοφίας, ἀλλὰ γιγνώσκειν ὑψοῦσθαι ὑπὲρ αὐτὴν διὰ σαφῶν περὶ αὐτῆς ἐννοιῶν, μὴ στερεῖν τὴν φιλοσοφίαν πάσης ἀξίας, ἀλλὰ ποιεῖσθαι χρῆσιν αὐτῆς ὑπὲρ τοῦ χριστιανισμοῦ δι᾽ ὀρθῶν περὶ τῶν βάσεων τοῦ ἀνθρωπίνου πνεύματος ἐννοιῶν. Ὁ Κλήμης οὕτω ποιῶν, ὕψου τὴν χριστιανικὴν θρησκείαν ἐνώπιον τῶν ἐθνικῶν, διὰ βαθείας δὲ ἐπιστημονικῆς παιδεύσεως ἐξηκρίβου τὴν ἀλήθειαν τοῦ Χριστοῦ καὶ ὑπερήσπιζεν αὐτὴν κατὰ τῶν προσβολῶν τῆς ἐθνικῆς πολυμαθείας. Ἐν τοιᾷδε τῶν πραγμάτων ἐκθέσει οὐχ ὑπερέβη τὰ ἔννομα ὅρια τοῦ ὀρθοῦ λόγου, ἀλλ᾽ ἐτίθη ὡς βάσιν τῆς φιλοσοφίας τὴν πίστιν· ἐκτιμῶν δὲ τὴν χριστιανικὴν γνῶσιν ἐξετίμα μετ᾽ ἀκριβείας καὶ τὰ φαινόμενα τοῦ ἀνθρωπίνου νοός, διατελῶν πάντοτε ἄκαμπτος ὑπερασπιστὴς τῆς μέσης ὁδοῦ. Ὁ Κλήμης ἐνεβάτευε μέχρι τοῦ βυθοῦ τῶν ἀπορρήτων πάσης ὑποθέσεως. Ἡ δὲ πρὸς τὴν χριστιανικὴν ἀλήθειαν ἀγάπη αὐτοῦ πανταχοῦ ἦν βαθεῖα καὶ εἰλικρινής. Ὅσον πιστή ἐστιν ἡ ὀξυδέρκεια αὐτοῦ ἐπὶ τῶν ἀντικειμένων, ὅτε π. χ. ὁρίζει τὴν ἀξίαν τοῦ γάμου καὶ τῆς παρθενίας τῆς αἱρέσεως καὶ τῆς ἀνέσεως τοῦ βίου! Σύναμα ἡ καρδία αὐτοῦ ἦν πλήρης σεβασμοῦ πρὸς τὸν Χριστὸν καὶ τὸν χριστιανισμόν. Ἡ ἀλήθεια τοῦ Χριστοῦ, λέγει καὶ ἐπαναλαμβάνει, ἐστὶν ἡ κυρία τῆς φιλοσοφίας. Τοῦτό ἐστιν ἡ βάσις ἁπάντων αὐτοῦ τῶν διανοημάτων καὶ ἁπασῶν τῶν πράξεων (¹). Ἡ πίστις εἰς τὴν θεότητα τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ Θεμελιωτοῦ τῆς χριστιανικῆς Ἐκκλησίας, ἐστὶν αὐτῷ ἡ βάσις ἁπάσης τῆς πίστεως (²), καθάπερ ἡ ἁγία Γραφή, ἡ πηγὴ τῆς ἀληθείας [*].

(¹) Στρωμ. Ά. 5. σελ. 333. 20. σελ. 376. Προτρεπτ. σελ. 36.

(²) Ἴδ. Παιδαγ. Ά. 6. σελ. 113. 5. σελ. 112. 8. σελ. 135. Προτρεπτ. § 10. σελ. 78. 86. Στρωμ. δ΄. 25. σελ. 638. ζ΄. 2. σελ. 831·

Ἐλάττωμα τοῦ Κλήμεντός ἐστιν, ὅτι παρασύρεται ὑπὸ τῆς μυστικῆς φιλοσοφίας τοῦ Φίλωνος (1). Εἰ καὶ ἐκεῖ, ἔνθα πολεμεῖ τοῖς Γνωστικοῖς, ἀκολουθεῖ τῇ κατὰ γράμμα ἀκριβεῖ τῆς ἁγ. Γραφῆς ἐννοίᾳ, ὅμως ἡ πρὸς τὴν ἀλληγορίαν ἀγάπη αὐτοῦ πολλάκις ἐπεκράτει τῶν διανοημάτων αὐτοῦ. Ἐντεῦθεν αἱ ἀλληγορικαὶ αὐτοῦ κατασκευαὶ ἐν τῇ ἑρμηνείᾳ τῆς Γραφῆς (2). Ἐντεῦθεν ἐκεῖ, ἔνθα φιλοσοφεῖ, ἡ θεο-

---

Ἡ ἔκφρασις τοῦ χωρίου: «Τελειοτάτη δέ, καὶ ἁγιωτάτη, καὶ κυριωτάτη, καὶ ἡγεμονικωτάτη, καὶ βασιλικωτάτη, καὶ εὐεργετικωτάτη ἡ Υἱοῦ φύσις, ἡ τῷ μόνῳ Παντοκράτορι προσεχεστάτη», διασαφεῖται περαιτέρω, ἔνθα σαφῶς λέγει, ὅτι ὁ Υἱὸς οὐ κεχώρισται τοῦ Πατρός: «*οὐ μεριζόμενος, οὐκ ἀποτεμνόμενος, οὐ μεταβαίνων ἐκ τόπου εἰς τόπον*...»

[*] Στρωματ. βιβλ. ζ. κεφ. 16. σελ. 890. 891. βιβλ. έ. κεφ 1. σελ 646. βιβλ. ς΄. κεφ. 11. σελ. 786.

(1) Φώτ. ἀνάγν. ρέ. σελ. 278.

(2) Ἰδοὺ ἡ κυρία ἔννοια, ἣν ὁ Κλήμης προεστήσατο ὁδηγὸν ἐν τῇ ἑρμηνείᾳ τῆς ἁγίας Γραφῆς: «Ἄντικρυς γοῦν περὶ πάσης Γραφῆς τῆς καθ' ἡμᾶς ἐν τοῖς ψαλμοῖς γέγραπται, ὡς ἐν παραβολῇ εἰρημένης». Στρωμ. βιβλ. έ. σελ. 659. Ἐνταῦθα ἔχει ὑπ' ὄψιν τοὺς λόγους τοῦ ψαλμ. οζ΄. 1. 2. καὶ ἔπειτα ἐκφέρει τοὺς λόγους τοῦ Ἀποστόλου: «Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων, ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην». (Κορινθ. Α. β΄. 6.) Ἀλλ' ἐν τῷ ψαλμῷ εἴρηται οὐ περὶ πάσης Γραφῆς, ἀλλὰ περὶ τῶν λόγων τοῦ ψαλμοῦ, καὶ τὸ ἀποκεκρυμμένον μυστήριον παρὰ τῷ Ἀποστόλῳ οὐ δηλοῖ ἔννοιαν ἀλληγορίᾳ κεκαλυμμένην, ἀλλ' ἔννοιαν ἀποκεκρυμμένην ἐν τῷ βάθει τῆς σοφίας τοῦ Θεοῦ καὶ ὑπερέχουσαν τὸν ἀνθρώπινον νοῦν. Ὁ νόμος, λέγει, τοῦ Μωϋσέως περιέχει τετραπλῆν ἔννοιαν: *μυστικήν, ἠθικήν, προφητικὴν καὶ λογικήν*. Ὁ νόμος ἐν πρώτοις παρίστησι τὸ σημεῖον, δεύτερον ἕκαστος νόμος συνίστησι τὸν κανόνα διὰ τὴν ζωήν, τρίτον πᾶς νόμος ὡς προφητεία προλέγει τὸ μέλλον (Στρωμ. Ά.). Ποῦ ἡ βάσις διὰ τοιοῦτον μερισμὸν τῆς ἐννοίας; Εἰ τελετουργία τις χρησιμεύει ὡς εἰκὼν ἐννοίας τῆς Καινῆς Διαθήκης, ἐστὶ προφητεία, καὶ οὐδὲν μυστηριῶδες περιέχει. Ἡ ὑπερβολικὴ πρὸς τὰς θεωρίας κλίσις παρέσυρε τοσοῦτον τὸν Κλήμεντα, ὥστε ἐκάλει τὴν κατὰ γράμμα ἔννοιαν τῆς ἁγίας Γραφῆς γηΐνην, καὶ περὶ πολλοῦ ἐποιεῖτο μόνον τὴν ἀλληγορικήν, λέγων, ὅτι αὕτη μόνη ἄγει εἰς τὴν ὑψίστην γνῶσιν (Στρωμ·

λογεῖ, ἀπαντῶσιν ἔννοιαι εὐφυεῖς μὲν καὶ ἔσθ᾽ ὅτε βαθεῖαι, ἀλλ᾽ ἐνίοτε ἐρειδόμεναι μόνον ἐπὶ τῆς ἀναλογίας τῶν ἀντικειμένων, καὶ ἐντεῦθεν οὐκ ἰσχυραὶ οὐδὲ πισταί (¹).

§. 89. *Ὠριγένης ὁ Ἀδαμάντιος· βίος αὐτοῦ:*
α'.] πρὸ τῶν δυσαρεστήσεων πρὸς τὸν ἐπίσκοπον Δημήτριον.

Ἐπισημότατος τῶν μαθητῶν τοῦ Κλήμεντος ἐγένετο ὁ Ὠριγένης, ὁ τόν τε νοῦν καὶ τὴν παιδείαν περικλεέστατος τῆς Ἐκκλησίας διδάσκαλος. Τὴν πρώτην ἐκπαίδευσιν ἔλαβεν ὑπὸ τὴν ἐπιστασίαν τοῦ εὐσεβοῦς καὶ λογίου αὐτοῦ πατρὸς Λεωνίδου (α). Ὁ πατὴρ

βιβλ. ς'. σελ. 489). Οὐκ ὀρθὴ ἡ πρώτη γνώμη, αὐθαίρετος δὲ ἡ τελευταία. Οὕτως ἐφάνησαν ἐσφαλμέναι αἱ ἑρμηνεῖαι αὐτοῦ εἰς τὴν ἱστορίαν τοῦ Ἀβιμέλεχ καὶ τῆς Σάρρας (Στρωμ. Ά. σελ. 333. Παιδαγωγ. σελ. 100), εἰς τὴν τετάρτην ἐντολὴν (Στρωματ. ς'. σελ. 815. 816), εἰς τὰς ἓξ ἡμέρας τῆς δημιουργίας (Στρωμ. ς'. 4. σελ. 813), καὶ καθ.

(¹) Ὁ Κλήμης οὐκ ἦν οὕτως ἐστερημένος κρίσεως ὡς ἐσυκοφάντησαν αὐτὸν ὁ *Κλέρικος* καὶ ὁ *Σπαγχέϊμος*. ἀλλ᾽ ἡ ὑπερβολικὴ αὐτοῦ πρὸς τὸν μυστικισμὸν κλίσις ἠδύνατο ῥίψαι αὐτόν, καὶ ἔρριψεν εἰς τὰς ἑπομένας ἀπάτας· α] ἐκτὸς τῆς καθολικῆς παραδόσεως τῆς Ἐκκλησίας, ἐφ᾽ ἧς κατ᾽ αὐτόν, ἐρείδεται ἡ καθολικὴ πίστις, διασαφοῦσα δι᾽ αὐτῆς τὴν ἁγίαν Γραφὴν καὶ ἐλέγχουσα τὰς αἱρέσεις, παρεδέχετο ἑτέραν τινὰ μυστικὴν παράδοσιν, μόνῃ τῇ γνώσει προσιτήν, παράδοσιν ἣν δῆθεν ὁ Σωτὴρ μετέδωκε μόνον μαθηταῖς τισι, καὶ ἣν οὗτοι μετεδίδοσαν μόνον τοῖς ἐκλεκτοῖς· β'] ἐντεῦθεν τὰ μυθολογικὰ ἀπόκρυφα βιβλία, ὡς τὸ Κήρυγμα τοῦ Πέτρου (Στρωμ. Α. 29. Β. 15. ς'. 5. 6. 7.), τὴν Ἀποκάλυψιν τοῦ Παύλου (Στρωμ. ς'. σελ· 761.), ἀνέφερεν ὡς βιβλία ἄξια ἰδιαζούσης πίστεως· λίαν ὑψοῖ τὴν ἀξίαν τῶν βιβλίων τῶν Σιβυλλῶν, προστιθεὶς μάλιστα, ὅτι ἐπεδοκιμάσθησαν ὑπὸ τοῦ Ἀποστόλου Παύλου (Στρ. ς'. 761)· γ] ἐκ τῆς πίστεως εἰς τοιαῦτα βιβλία προῆλθον καὶ αἱ ἰδέαι αὐτοῦ: περὶ τῆς ἐπὶ ἓν ἔτος διαρκείας τοῦ ἐπιγείου Ὑπουργήματος τοῦ Χριστοῦ Στρωμ. βιβλ. Ά.) καὶ ἄλλαι ἱστορικαὶ ἀπάται. Ὁ Κλήμης ἠγάπα τὴν φιλοσοφίαν, ἵνα δι᾽ αὐτῆς ὑπηρετήσῃ τῇ οὐρανίῳ ἀληθείᾳ· ἀλλ᾽ ἔσθ᾽ ὅτε παρασυρόμενος, ἐδείκνυ τὴν ἀλήθειαν τοῦ Χριστοῦ παρὰ τοῖς φιλοσόφοις καὶ ποιηταῖς, ἔνθα οὐκ ἦν· ἐδείκνυ τὴν γνῶσιν ἐκεῖ, ἔνθα ἦσαν μόνον σφάλματα.

(α) Ἡ ἐν τῷ ἐθνικῷ κόσμῳ οἰκια-

ἐδίδαξεν αὐτὸν τὰ ἐγκύκλια μαθήματα, κατ᾿ ἐξοχὴν δὲ ἐδίδασκεν αὐτὸν τὴν εὐσέβειαν, καὶ παρώρμα εἰς τὴν ἐκμάθησιν τῆς ἁγίας Γραφῆς. Ὁ Ὠριγένης νεανίσκος ἔτι ὤν, κατέδειξε τί ἠδύνατό τις προσδοκᾷν παρ᾿ αὐτοῦ. Μὴ ἀρκούμενος τῇ ἁπλῇ καταλήψει τῶν λέξεων τῆς ἁγίας Γραφῆς, ἐξέπληττε καὶ εἰς ἀμηχανίαν περιῆγε τὸν πατέρα αὐτοῦ ταῖς περὶ μυστικῆς ἐννοίας τῶν θείων Γραφῶν ἐρωτήσεσιν. Ὁ Λεωνίδης ἀπὸ γλώσσης μὲν ἐμέμφετο αὐτοῦ τὴν περιέργειαν, φοβούμενος μή, παρασυρθεὶς ὑπὸ τοῦ ὁρμητικοῦ αὐτοῦ πνεύματος, ἀπομακρυνθῇ τῆς ὀρθῆς καταλήψεως τῆς ἁγίας Γραφῆς· ἰδίως δὲ καθ᾿ ἑαυτὸν ἔχαιρε καὶ μεγίστην ὡμολόγει τῷ πάντων ἀγαθῶν αἰτίῳ Θεῷ χάριν, ἀξιώσαντι αὐτὸν τοιούτου υἱοῦ γενέσθαι πατέρα. Καθεύδοντος τοῦ υἱοῦ, ὁ πατὴρ προσήρχετο καὶ κατεφίλει τὰ στέρνα αὐτοῦ, ὡς κατοικητήριον τοῦ ἁγίου Πνεύματος (1). Ἐκτὸς τοῦ πατρὸς αὐτοῦ ὁ Ὠριγένης ἠκροάσατο ἐν τῷ τῆς Ἀλεξανδρείας κατηχητικῷ διδασκαλείῳ τοῦ Κλήμεντος, διδάσκοντος ἐν αὐτῷ τὴν γραμματικήν, τὴν ῥητορικήν, τὴν μουσικήν, τὴν γεωμετρίαν, τὴν διαλεκτικὴν καὶ τὴν φιλοσοφίαν (2). Ὁ διωγμὸς τοῦ Σεπτιμίου Σευή-

κὴ ἀνατροφὴ ἦν τὰ μάλιστα παρημελημένη καθ᾿ ὃν χρόνον ὁ χριστιανισμὸς ἤρξατο καθίστασθαι ἐν αὐτῷ. Ἡ τῶν παίδων ἀνατροφὴ ἦν ἀνατεθειμένη τοῖς δούλοις, καὶ ταύτῃ τῇ ἀμελείᾳ τοῦ σπουδαιοτάτου τῶν καθηκόντων ἀποδοτέον τὴν ῥωμαϊκὴν παρακμήν. Ἕκαστος κατανοεῖ οἷαι γενεαὶ ἔμελλον προπαρασκευασθῆναι ὑπὸ τὴν ἐπιστασίαν τοιούτων διδασκάλων. Μετὰ τοῦ χριστιανισμοῦ δὲ ἡ οἰκιακὴ ἀνατροφὴ ἔλαβε πάντῃ διάφορον χαρακτῆρα· αἱ σχέσεις τῶν μελῶν αὐτοῦ συσφίγγονται καὶ κρατύνονται διὰ δεσμοῦ ἱεροῦ καὶ ἀδιαλύτου· τὸ τέκνον θεωρεῖται ἱερὰ παρακαταθήκη, ἣν ἡ θεία Πρόνοια παρακατέθετο τοῖς γονεῦσι, μετὰ τῆς ἐντολῆς τοῦ ἀναθρέψαι αὐτῷ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου, ὡς λέγει ὁ Ἀπόστολος Παῦλος (ἐφεσ. ς΄., 4). Οἱ γονεῖς τοῦ Ὠριγένους κατενόησαν τοῦτο τὸ καθῆκον τὸ τοσοῦτον περιφρονούμενον ἐν τῷ ἐθνικῷ κόσμῳ. Οὕτως ὁ Λεωνίδης περὶ πλείστου ὅσου ἐποιήσατο τὴν ἄσκησιν τοῦ τε πνεύματος καὶ τῆς καρδίας τοῦ υἱοῦ αὐτοῦ. Σ. Μ.

(1) Εὐσεβ. Ἐκκλ. ἱστορ. ς΄. 2. Hieron. epist. ad Pammach.

(2) Εὐσεβ. αὐτόθ. ς΄. 6. Σουΐδ. ἐν λ. Ὠριγένης. Νικηφ. Ἐκκλ. ἱστορ. δ, 33. Φώτ. ἀνάγν. ριη΄. [Ἡ ἐπιρροὴ τοῦ Κλήμεντος ἐπὶ τοῦ νέου αὐτοῦ μαθητοῦ ἦν ὑπερβάλλουσα, ὡς τοῦτο δείκνυται ἐκ τῆς παραβολῆς

ρου (τῷ 202) ἔδωκεν ἀφορμὴν τῷ νεανίσκῳ Ὠριγένει (ἦγε τότε τὸ ις΄. ἔτος) ἵνα ἐκδηλώσῃ τὸν πρὸς τὴν πίστιν ζῆλον αὐτοῦ. Ὅτε ὁ πατὴρ αὐτοῦ ἀπήχθη εἰς τὸ δεσμωτήριον, ἐπεθύμει ἀναδήσασθαι τὸν μαρτυρικὸν στέφανον· τηνάλλως ἐδέετο ἡ μήτηρ αὐτοῦ καταλιπεῖν τὴν πρόθεσιν ταύτην· τέλος τὴν πᾶσαν αὐτοῦ ἀποκρυψαμένη ἐσθῆτα, ἠνάγκασε τὸν θερμὸν νεανίσκον μένειν οἴκοι. Ὁ Ὠριγένης τότε διεπέμψατο τῷ πατρὶ αὐτοῦ περὶ μαρτυρίου ἐπιστολήν, ἐν ᾗ ἔλεγεν αὐτῷ: «ἔπεχε μὴ δι' ἡμᾶς ἄλλο τι φρονήσῃς»(¹). Ὁ Λεωνίδης ἐκοσμήθη τῷ μαρτυρικῷ στεφάνῳ. Ὁ Ὠριγένης ἔμεινε μετὰ τῆς μητρὸς καὶ τῶν ἀδελφῶν αὐτοῦ ἐν ἄκρᾳ πενίᾳ· ἡ περιουσία αὐτοῦ διηρπάγη· ἀλλὰ πλουσία τις καὶ ἔντιμος γυνὴ τῆς Ἀλεξανδρείας παρέλαβεν αὐτὸν παρ' ἑαυτῇ. Ἐνταῦθα ἔδειξε θαυμαστὴν σταθερότητα ἐν τοῖς φρονήμασι τῆς πίστεως. Παρὰ τῇ εὐεργέτιδι αὐτοῦ ἔζη ἐπίσημός τις Γνωστικὸς ἐκ Συρίας, Παῦλος καλούμενος, πρὸς ὃν πολλάκις συνήρχοντο καὶ αὐτοὶ οἱ ὀρθόδοξοι, ὑπὸ τῆς εὐφραδίας ἐπαγόμενοι. Ἀλλ' ὁ Ὠριγένης οὐδέποτε ἠβουλήθη ἔχειν πρὸς αὐτὸν κοινωνίαν· οὐ συμπροσηύχετο αὐτῷ, καίπερ ἀπαρέσκοντος τούτου τῇ ἑαυτοῦ εὐεργέτιδι. Μετ' οὐ πολὺ ἠδυνήθη ἀρνήσασθαι τὴν συνδρομὴν τῆς γυναικὸς ταύτης, ἀρξάμενος διδάσκειν τὴν γραμ-

τῶν συγγραμμάτων ἀμφοτέρων. Πολὺν χρόνον μετὰ τὴν ἐποχὴν ταύτην εἷς τῶν συμμαθητῶν τοῦ Ὠριγένους, ὁ Ἱεροσολύμων Ἀλέξανδρος, ἔγραφε πρὸς τὸν φίλον αὐτοῦ, ἵνα ὑπομνήσῃ αὐτὸν τί ὤφειλον ἀμφότεροι πρὸς τὸν κοινὸν αὐτῶν διδάσκαλον: « Τοῦτο γὰρ καὶ θέλημα Θεοῦ, ὡς οἶδας, γέγονεν, ἵνα ἡ ἀπὸ προγόνων ἡμῖν φιλία μένῃ ἄσυλος, μᾶλλον δὲ θερμοτέρα ἢ καὶ βεβαιοτέρα. Πατέρας γὰρ ἴσμεν τοὺς μακαρίους ἐκείνους τοὺς προοδεύσαντας, πρὸς οὓς μετ' ὀλίγον ἐσόμεθα, Πάνταινον τὸν μακάριον, ὡς ἀληθῶς, καὶ κύριον, καὶ τὸν ἱερὸν Κλήμεντα κύριόν μου γενόμενον καὶ ὠφελήσαντά με, καὶ εἴ τις ἕτερος τοιοῦτος, δι' ὧν σὲ ἐγνώρισα τὸν κατὰ πάντα ἄριστον καὶ κύριόν μου καὶ ἀδελφόν » (παρ' Εὐσεβ. Ἐκκλ. ἱστορ. ς΄. 14). Οὐδεμία ἀμφιβολία, ὅτι ὁ περὶ πλείστου ποιούμενος, τὴν ἐπιστήμην Κλήμης ἐσπούδασε παντὶ σθένει ἀναπτύξαι τὰ πνευματικὰ χαρίσματα μαθητοῦ, ὃς ἀγαθὴν ἐλπίδα παρεῖχε γενέσθαι ἄλκιμος πρόμαχος τῆς Ἐκκλησίας. Σ. Μ.

(¹) Εὐσεβ. αὐτόθ. ς΄. 2. Hieron. de vir. illustr. c. 54.

ματικήν. Καταλιπόντος τοῦ Κλήμεντος ἕνεκα τοῦ διωγμοῦ τὴν ἐν τῷ ἀλεξανδρινῷ διδασκαλείῳ ἕδραν αὐτοῦ, νέοι τινὲς ἐθνικοὶ ἐπιθυμοῦντες δέξασθαι τὴν εἰς Χριστὸν πίστιν, προὔτειναν αὐτῷ ἀναλαβεῖν τὴν διδασκαλίαν τῆς Κατηχήσεως. Τὴν πρότασιν ταύτην ἐδέξατο, τὸ ὀκτωκαιδέκατον ἔτος ἄγων([1]). Ἡ δόξα αὐτοῦ ἐν τῷ ςαδίῳ τούτῳ ἦν ἀξία τῆς κλήσεως αὐτοῦ. Κηρύσσων τὸν Χριστόν, εἵλκυσε διὰ τῆς ἑαυτοῦ διδασκαλίας ἐφ᾿ ἑαυτὸν τὴν τοῦ ὄχλου ἀγανάκτησιν. Τὸ μῖσος κατ᾿ αὐτοῦ ἠγέρθη κυρίως, ὅτε οὐ μόνον τοὺς ἐν δεσμοῖς τυγχάνοντας πιστοὺς ἐπεσκέπτετο, ἀλλὰ καὶ ἀπαγομένοις τὴν ἐπὶ θάνατον συνώδευεν, ἐνισχύων αὐτοὺς εἰς τὸν ὑπὲρ Χριστοῦ θάνατον. Πολλάκις ἐν τοιαύταις περιστάσεσιν οἱ ἐθνικοὶ κατεδίωκον αὐτόν· ἠναγκάζετο μάλιστα ἀμείβειν τὸν τόπον τῆς διαμονῆς αὐτοῦ, καὶ κρύπτεσθαι ὁτὲ μὲν ἐν δεσμωτηρίοις, ὁτὲ δὲ ἐν ἀγνώστοις οἴκοις. Συνέλαβόν ποτε αὐτόν· ἐνέδυσαν τὴν ἐσθῆτα ἱερέως τοῦ Σεράπιδος· ἤγαγον αὐτὸν ἐνδεδυμένον εἰς τὰς βαθμίδας τοῦ ναοῦ, καὶ ἠνάγκασαν αὐτόν, κατὰ τὴν ἑαυτῶν συνήθειαν, διανέμειν φοινικείους κλάδους τοῖς εἰς τὸν ναὸν εἰσερχομένοις. Ὁ Ὠριγένης διένεμε τοὺς κλάδους, λέγων: «Δεῦτε, λάβετε οὐ τὸν κλάδον τοῦ εἰδώλου, ἀλλὰ τὸν θαλὸν τοῦ Χριστοῦ» ([2]).

Οἱ ἀγῶνες οὗτοι ἠνάγκασαν τὸν Ἀλεξανδρείας ἐπίσκοπον Δημήτριον στρέψαι ἐπ᾿ αὐτὸν ἰδίαν προσοχὴν καὶ καταστῆσαι τῷ 205, τὸ δέκατον καὶ ἕβδομον ἔτος τῆς ἡλικίας ἄγοντα, προεστῶτα τοῦ διδασκαλείου καὶ Κατηχητὴν τῆς ἀλεξανδρινῆς Ἐκκλησίας. Ὁ Ὠριγένης κατέλιπε τὴν προτέραν αὐτοῦ ἀσχολίαν· ἐπώλησε πανθ᾿ ὅσα εἶχεν ἐθνικὰ βιβλία ἐπὶ τῷ ὅρῳ τοῦ λαμβάνειν παρὰ τοῦ ἀγοράσαντος αὐτὰ τέσσαρας μόνον ὀβολοὺς καθ᾿ ἑκάστην, καὶ ἔκτοτε ἤρξατο διάγειν αὐστηρότατον βίον. Διὰ πάσης μὲν τῆς ἡμέρας ἐδίδασκε, τὸν δὲ πλείονα χρόνον τῆς νυκτὸς ἀνετίθει ταῖς τῶν θείων Γραφῶν μελέταις καὶ τῇ προσευχῇ, καὶ ὀλίγον μόνον τῷ ὕπνῳ· οὐκ ἐκάθευδεν ἐπὶ στρωμνῆς, ἀλλ᾿ ἐπὶ τοῦ ἐδάφους· διεκαρτέρει ἐν ψύχει καὶ γυμνότητι καὶ νηστείᾳ· ἐπί τινα ἔτη οὐκ ἐχρῆτο ὑποδήμασιν· εἵπετο κατὰ γράμμα τῇ τοῦ Κυρίου ἐντολῇ μὴ ἔχειν δύο χιτῶ-

---

([1]) Εὐσ. αὐτόθ. ς΄. 2. 3. Hieron. de vir. illustr. c. 54. Χρον. 6,295.

([2]) Ἐπιφ. αἱρ. 1. 64,